ΑΡΧΙΜ. ΘΕΟΔΟΣΙΟΥ ΠΑΠΑΚΩΝΣΤΑΝΤΙΝΟΥ

# ΑΚΟΛΟΥΘΙΑ ΒΙΟΣ ΚΑΙ ΘΑΥΜΑΤΑ

ΤΟΥ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΝΕΚΤΑΡΙΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΕΝΤΑΠΟΛΕΩΣ

ΚΤΙΤΟΡΟΣ

ΤΗΣ ΕΝ ΑΙΓΙΝΗι ΚΟΙΝΟΒΙΑΚΗΣ ΜΟΝΗΣ ΓΥΝΑΙΚΩΝ

ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΤΟΥΤΩ ΝΙΚΑ

ΑΘΗΝΑΙ 1937
ΤΥΠΟΙΣ "ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ,,
4—ΜΕΝΑΝΔΡΟΥ—4

Αὐτός εἶναι ἅγιος


ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

# ΠΡΟΛΟΓΟΣ

Ἡ ἁγία ἡμῶν Πίστις οὐδέποτε ἐπαύσατο παράγουσα ἄνδρας ἀνωτέρας ἠθικῆς καὶ οὐρανοπετοῦς ἀρετῆς· καὶ οἱ ἄνδρες οὗτοι ἁγιάζουσι διὰ τοῦ ἐξαισίου βίου αὐτῶν πᾶσαν ἐποχήν, ὁσονδήποτε καὶ ἂν χαρακτηρισθῇ αὕτη ἐποχὴ καταπτώσεως καὶ διαφθορᾶς οἵα ἡ ἡμετέρα.

Αὕτη ἀληθῶς παρέχει ἄφθονα τὰ στίγματα τῆς παρακμῆς· ἡ θρησκευτικὴ ἀδιαφορία πλεονάζει, τὰ κρούσματα τῆς ἠθικῆς διαφθορᾶς ἐμφανίζονται πυκνὰ καὶ δεινά, τὸ ἔγκλημα καὶ ἡ πρὸς αὐτὸ ῥοπή, οἱονεὶ ἀποχαλινωθέντα, σοβοῦσιν ἀνὰ τὰς κοινωνίας, ἀπειλοῦντα τὴν διάλυσιν οἴκου, κοινωνίας, πολιτείας, αὐτῆς τῆς ἀνθρωπότητος ὅλης. Ἐν τούτοις, ἐφ᾽ ὅσον ἡ ἁγία πίστις τοῦ Χριστοῦ στήκει ἀσάλευτος ἐν τῷ κόσμῳ, ἡ ἐλπὶς τῆς σωτηρίας μένει ἑδραία, καὶ οἱ πολλοὶ ἀφανεῖς τῆς ἀρετῆς καὶ τοῦ πρὸς τὸν Θεὸν καὶ τὸν ἄνθρωπον καθήκοντος ἐργάται, βαδίζοντες τὴν πρὸς τὰ ἄνω ὁδὸν τῶν θλίψεων, ἀκλινεῖς καὶ εὐθὺ ἐμπρός, οὐδέποτε δὲ πρὸς τὰ ὀπίσω βλέποντες, ἀποτελοῦσι τὴν ζύμην τὴν ζυμοῦσαν ἐν τῷ πνεύματι τοῦ Κυρίου τὸ ὑπέροχον φύραμα. Καὶ ἀντιμέτωποι τῶν θορυβοποιῶν τοῦ κακοῦ καὶ τῆς ἁμαρτίας, τῶν πάσῃ μεθόδῳ καὶ μηχανῇ ὑπονομευόντων τὰ θεμέλια τοῦ κόσμου, ἐγείρονται ἐν ζήλῳ Θεοῦ οἱ ἀθληταὶ τῆς πίστεως, καὶ ἐν τῇ ἄνωθεν βοηθείᾳ ὀρθοῦσι τὴν ταπεινὴν ἀλλ᾽ εὐλογημένην αὐτῶν ἀρετὴν καὶ αἴρουσι τοὺς γνωρίμους καὶ παλαιφάτους θριάμβους τῆς πίστεως καὶ ἱδρύουσι περίλαμπρα τὰ κατὰ τῆς ἁμαρτίας τρόπαια. Οὗτοί ἐστιν οἱ φέροντες ἐπὶ τῶν μετώπων αὐ-

τῶν τὴν σφραγῖδα τῆς χάριτος, καὶ ἀμοιβὴν ὑπέροχον τὴν ἱκανοποίησιν τῆς ἐκπληρώσεως τοῦ ἐπὶ τῆς γῆς προορισμοῦ αὐτῶν, καὶ τὴν ἐν τῷ παραδείγματι αὐτῶν ἀναζύμωσιν καὶ ἀνακαίνισιν τῆς κοινωνίας, ἐν ᾗ ἐτράφησαν καὶ διέλαμψαν.

Τοιοῦτος πρωταθλητὴς τῆς χριστιανικῆς ἀρετῆς ἐγένετο ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς ὁ ἐν Αἰγίνῃ ἀναπαυόμενος Πενταπόλεως καὶ τῆς γεραρᾶς Ριζαρείου Σχολῆς διευθυντὴς Νεκτάριος, ὃν ὁ Θεὸς διὰ τὴν ὑπέροχον ἁγιότητα τοῦ βίου ὡς ζῶντα καὶ τελευτήσαντα ἐδόξασεν, ὥστε καὶ θαύματα εἰ τοὺς ἐν πίστει προστρέχοντας εἰς τὴν ἱερὰν σορὸν αὐτοῦ νὰ τελῶνται, ἀψευδὲς σημεῖον τῆς ἐν τῷ χορῷ τῶν δικαίων καὶ τῶν ἁγίων κατατάξεως αὐτοῦ.

Καὶ ἐπειδὴ δίκαιον εἶναι οἱ ἅγιοι τοῦ Θεοῦ καὶ ὑπὸ ἀνθρώπων νὰ τιμῶνται καὶ ἐν ἐκκλησίαις νὰ γεραίρωνται πρὸς ἔξαρσιν τοῦ θρησκευτικοῦ ἐνθουσιασμοῦ καὶ παραδειγματισμὸν τῶν πιστῶν, ὁ ταπεινὸς συνθέτης τῆς ἱερᾶς ταύτης ἀκολουθίας ἐνόμισεν ὅτι ἐκπληροῖ καθῆκον ἱερὸν δημοσιεύων ταύτην, ἐν τῇ ἐλπίδι ὅτι εἰσφέρει τι, ἔστω καὶ ἐλάχιστον, εἰς τὸ γιγαντιαῖον οἰκοδόμημα πίστεως καὶ ἀρετῆς, οἷον εἶναι ἡ ἁγία ἡμῶν καὶ μόνη ἀληθινὴ τοῦ Χριστοῦ θρησκεία. Προϊὸν πόθου θερμοῦ καὶ εὐλαβείας, καίπερ πτωχὸν καὶ ἄτεχνον, τὸ ἐλάχιστον τοῦτο πόνημα, ἀποδίδοται εἰς τὰς χεῖρας τῶν εὐσεβῶν, παρακαλουμένων νὰ ἐκτιμήσωσι τοῦτο οὐχὶ κατὰ τὴν λογοτεχνικὴν ἀξίαν, ἀλλὰ κατὰ τὴν εὐλαβῆ προαίρεσιν.

# ΝΟΕΜΒΡΙΟΥ Θ΄.

ΜΝΗΜΗ ΤΟΥ

## ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΕΚΤΑΡΙΟΥ ΜΗΤΡΟΠΟΛ. ΠΕΝΤΑΠΟΛΕΩΣ

ΚΑΙ

## ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΕΝ ΑΙΓΙΝΗ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ ΤΩΝ ΜΟΝΑΖΟΥΣΩΝ

---

**Ἐν τῷ Μικρῷ Ἑσπερινῷ**

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.**

***Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.***

Ἐν ᾠδαῖς ἀνυμνήσωμεν, ἐν φωναῖς μακαρίσωμεν, τὸν ἀρτίως λάμψαντα ἐν τοῖς πέρασι, καὶ διὰ βίου καὶ πράξεως, καὶ λόγου καὶ χάριτος, καὶ θαυμάτων ἱερῶν, τοὺς θεσμοὺς σφραγισάμενον, τοὺς τῆς πίστεως, καὶ θεόθεν ἀξίως δοξασθέντα τὸν Νεκτάριον τὸν θεῖον, Ἱεράρχην τὸν ἀκρέμονα.

Ἐπαγάλλου καὶ χόρευε, καὶ τὰς χεῖράς σου κρότησον, Ἐκκλησία σήμερον ἡ Ὀρθόδοξος· ἰδοὺ γὰρ ἄρτι ἐξέλαμψεν, ὁ Θεῖος Νεκτάριος, ὥσπερ ἥλιος λαμπρός, τῷ σεπτῷ σου ὁρίζοντι, καὶ κατηύγασε, τοὺς υἱούς σου ἀκτῖσιν εὐσεβείας, καταθάλπων τοὺς ψυγέντας, καὶ ἀνορθῶν τοὺς ἐκκλίνοντας.

Εἰς ὀσμὴν τοῦ λειψάνου σου, συνδραμόντες, Νεκτάριε, εὐωδίας νάματα κομιζόμεθα, καὶ ἰαμάτων χαρίσματα, δι᾽ ὧν ἀπελαύνεται τῶν δαιμόνων ἡ φορά, καὶ αἱρέσεων λύεται, ἡ ἐπήρεια, καὶ ἑδράζονται, Πάτερ, ἀραρότως, αἱ κλονούμεναι καρδίαι, Ὀρθοδοξίας τοῖς δόγμασι.

Τὴν Μονὴν ἣν ἀνήγειρας, καὶ κανόσι τετείχικας, εἰς ψυ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χῶν Νεκτάριε περιποίησιν, φρούρει ἀπαύστως καὶ φύλαττε, ταῖς σαῖς παρακλήσεσιν, ᾗ ἀπόκειται σεπτῶς, θησαυρὸς ὡς πολύτιμος, τὸ σὸν Λείψανον, ὑπὲρ νόμον καὶ τέχνην ἀνθρωπίνην σῶον ἄφθαρτον μυρίπνουν, χαριτωθὲν Θείῳ Πνεύματι.

***Δόξα Ἦχος α΄.***

**Δ**εῦτε ἅπαντες πιστοί, καινὴν χορείαν συστησάμετοι, τὸν νεοφανῆ φωστῆρα τῆς Ἐκκλησίας, Νεκτάριον τιμήσωμεν. Οὗτος γὰρ ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις, ἐν ἁγνότητι καὶ πολιτείᾳ ἀμέμπτῳ τῶν τοῦ Χριστοῦ ἰχνῶν ἐρανιζάμενος, τῆς ἁγιαστικῆς δυνάμεως, ἀνεδείχθη ὄργανον· διὸ καὶ τῆς ἀπάτης, τὰ θολερὰ ξηράνας ῥεύματα τὴν Ἐκκλησίαν κατεδρόσισεν· ἥτις καὶ τὸ εὐκλεέστατον σῶμα αὐτοῦ, ὡς Βασίλειον κόσμον περιφέρουσα, ἐρρωμενέστερον τῇ πίστει ἐνίδρυται, ἱερῶς βοῶσα· Ἰδοὺ ὁ ἐμὸς ἀληθὴς καρπός, στέφος μοι γεγένηται, καὶ τὰς κενοφώνους ἐρεσχελίας, φρούδας ἀναδείκνυσι· καὶ πρεσβεύει τῷ Λόγῳ, εἰρήνην σταθερὰν δωρήσασθαι, παντί μου τῷ πληρώματι.

***Καὶ νῦν. Θεοτοκίον.***

**Α**μαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

***Ἀπόστιχα.***

***Ἦχος Β΄. Οἶκος τοῦ Ἐφραθᾶ.***

**Ο**ρθρος νεοφεγγής, Νεκτάριε ἐφάνης, νυκτὶ τῆς ἀμελείας, πυρσεύων τοῖς ἐν κόσμῳ, δικαιοσύνης ἔλλαμψιν.

***Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.***

**Ο**ρπηξ νεοθαλής, πεφυτευμένος ὤφθης, ταῖς θείαις διεξόδοις, καρποφορῶν ἀπαύστως, τοῦ Πνεύματος τὰς χάριτας.

***Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος....***

**Υ**ψωσον τὴν φωνήν, Χριστοῦ ἡ Ἐκκλησία, καὶ κρότει εὐχαρίστως, τοῦ Θείου Νεκταρίου, τὴν μνήμην τὴν πανίερον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



***Δόξα. Τριαδικόν.***

**Σ**οὶ πρέπει Παντουργέ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἡ δόξα καὶ τὸ κράτος, ὅτι τὸν Ἱεράρχην, τὸν θεῖόν σου ἐδόξασας.

***Καὶ νῦν. Θεοτοκίον.***

**Φ**έγγει τῷ ἐκ τῆς σῆς, γλυκείας φωταυγείας λαμπόμενος, Παρθένε, Νεκτάριος ὁ θεῖος, ὡς φῶς ἡμῖν ἐπέφανε.

***Νῦν ἀπολύεις. Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ ἀπόλυσις.***

---

***Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν. τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.***

***Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος !***

**Ω** τοῦ παροδόξου θαύματος ! Ἐν αὐχμώδει καιρῷ, ὕδωρ τὸ ἁλλόμενον, Νεκτάριος ὁ σοφός, ἐν κόσμῳ ἔβλυσεν. Ἀρδεύθητι δαψιλῶς, ἡ Χριστοῦ Ἐκκλησία ἐν Πνεύματι. Πιάνθητε ἱερῶς, οἱ τοῦ νυμφῶνος υἱοὶ ἀνακράζοντες : Χαίροις ὁ τρυφῆς χειμάρρους, ὁ προρρέων ἅπασι, τὸ ἀθάνατον Νέκταρ, γεραίρουσι τὴν μνήμην σου

**Β**αβαὶ τῆς σῆς προμηθείας Χριστέ ! ὡς γὰρ θεῖον κλῆμα, τῆς ζωῆς ἡ ἄμπελος, Νεκτάριον τὸν σοφόν, ἄρτι ἐξέτεινας, τῶν θείων σου ἀρετῶν, καὶ τῶν ἠθῶν γεωργοῦντα τοὺς βότρυας, καὶ οἶνον τῶν δωρεῶν, τὸν τὰς καρδίας εὐφραίνοντα στάζοντα, καὶ τὴν μέθην τῆς κακίας, Σῶτερ καταπαύοντα, καὶ παρέχοντα πᾶσιν, ἰαμάτων τὴν πιότητα.

**Σ**ήμερον λαμπρῶς εὐφραίνονται, τῇ καινῇ σου μνήμῃ, τῶν πιστῶν οἱ σύλλογοι, σκιρτᾷ δὲ πνευματικῶς, ἡ Ἐκκλησία Χριστοῦ, ὁρῶσά σε ἀληθῶς, ἁγιωσύνης τῷ ὕψει ἐμπρέποντα, Νεκτάριε ἱερέ, καὶ καθαιροῦντα τῆς πλάνης τὸ ὕψωμα, καὶ ἐμφράττοντα τὰ χείλη, τὰ δεινῶς λαλήσαντα, ἀδικίαν εἰς ὕψος, τῆς τοῦ Λόγου, Πάτερ, γνώσεως.

Ὢ τοῦ παραδόξου θαύματος ! πῶς οὐδόλως εἶξε, τῇ φθορᾷ Νεκτάριε, τὸ σῶμά σου τὸ σεπτόν, νόμῳ τῷ τῆς φύσεως, ἀλλ' ἄφθαρτον καὶ λαμπρόν, καὶ εὐωδίας ἀνάπλεων δείκνυται, θαυμάτων μαρμαρυγάς, καὶ ἰαμάτων ἐκστίλβον λαμπρότητας ; ἀλλ' ἡ δωρεᾷ τῇ Θείᾳ τοῦ Ἁγίου Πνεύματος, τῇ διδούσῃ ἑκάστῳ κατ' ἀξίαν τὰ χαρίσματα.

### *Ἕτερα Προσόμοια.*

*Ἦχος Β'. Ποίοις εὐφημιῶν.*

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην ; Τὸν ἐκ Σηλυβρίας ἀστράψαντα, καὶ τὴν Οἰκουμένην φαιδρύναντα, τῆς Ὀρθοδοξίας τὴν λαμπάδα· τὸ νέον, τῆς Ἐκκλησίας περιτείχισμα, τὸ Θεῖον, φιλοσοφίας ἐνδιαίτημα· τοῦτον γὰρ ὁ Δεσπότης, ὡς κεκαθαρμένον, προσελάβετο ἱερῶς, καὶ δόξης ἠξίωσεν, οὐρανίου ὡς φιλάνθρωπος.

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν Ἱεράρχην ; Τὸ τῆς εὐσεβείας θεμέλιον, καὶ τῆς ἀνομίας τὸ θέριστρον, τῆς Θεολογίας τὴν κιθάραν· τὸ σκεῦος, τῶν δωρεῶν τοῦ Παντοκράτορος, τὸν κῆπον, τὸν εὐωδέστατον τοῦ Πνεύματος, τῆς ἀφθαρσίας τὸ ῥόδον, τῆς φθορᾶς τὴν πτῶσιν, δι' οὗ δαιμόνων ὀφρὺν Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν ἄνθεσι, στεφανώσωμεν τὸν Ἱεράρχην ; Τὸν ἀρτιφανῶς βεβαιώσαντα, τοῦ Εὐαγγελίου τὰ δόγματα, διὰ πράξεως καὶ θεωρίας· τὸν στῦλον, τῆς ἀληθείας τὸν ἀκράδαντον, τὸν λίθον, τῆς Ἐκκλησίας τὸν ἀδάμαντα, ἐν ᾧ τῆς ὕλης τὸ κῦμα, προσβαλὸν ἐρράγη, καὶ ἡδράσθησαν ἀκλινῶς, πιστῶν αἱ διάνοιαι τὴν Τριάδα μεγαλύνουσαι.

Ποίοις ᾀσματικοῖς ῥήμασι, μακαρίσωμεν τὸν Ἱεράρχην ; Τὸν ἐν μέσῳ τύρβης βιώσαντα, πολιτείαν θείαν καὶ ἄμεμπτον, καὶ θαυμάτων χάριν εἰληφότα· τὸ θεῖον, τῶν θλιβομένων παραμύθιον, τὸ μέγα, τῶν ἀσθενούντων ἰατήριον, τὸν τῆς Αἰγίνης φωστῆρα καὶ φρουρὸν καὶ σκέπην, δι' οὗ πληθὺν ἀγαθῶν, ἀπαύστως πορίζεται, ἀνυμνοῦσα τὸν Φιλάνθρωπον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



### *Δόξα καὶ νῦν.*

*Ἦχος α'.* (Ὀκτώηχον [1]).

Θεαρχίῳ νεύματι, πάντοθεν τῶν Ὀρθοδόξων οἱ σύλλογοι, ὑπὸ φωτὸς αὐγασθέντες ἀγόμενοι.

*Ἦχος πλ. α'.*

Κατειληφότες τὸ πανέντιμον. καὶ πανευκλεές σου σκῆνος, ἐνθέως προσπτύσσονται.

*Ἦχος β'.*

Αἱ δὲ ἀνώτεραι τῆς Ἐκκλησίας τάξεις, σὺν εὐσεβείᾳ ἁπάσῃ παραγενόμεναι.

*Ἦχος πλ. β'.*

Τὴν φωτοφόρον καὶ θεοδόξαστον θήκην γεραίρουσι, τῷ δέει κρατούμεναι τῶν ὑπὲρ νοῦν δὲ ἐμφορούμεναι, ᾀσματικῶς ἐκβοῶσι, ταῖς κατωτέραις χοροστασίαις : Ἰδοὺ ὁ θεόφρων Νεκτάριος παρατίθεται.

*Ἦχος γ'.*

Ἄρατε τοίνυν τὸν ὕμνον, καὶ τοῦτον ἐν εὐφροσύνῃ ἀνυμνήσατε, ὡς τοῦ Τρισηλίου φωτὸς δοχεῖον.

*Ἦχος βαρύς.*

Διὰ τούτου γὰρ αἱ δαψιλεῖς δωρεαί, Αἰγινήταις νέμονται ᾧ προσπελάζειν οὐ παυσόμεθα, εἰ καὶ ἄξιον γέρας, προσκομίζειν ἀδύνατον.

*Ἦχος δ'.*

Τούτου γὰρ ἡ ἀφθαρσία, καταπλήττει πᾶσαν ἔννοιαν.

*Ἦχος πλ. δ'.*

Διὸ πάνσοφε Ἱεράρχα, ἀεὶ σὺν Θεοτόκῳ Μαριάμ, Ἀχράντῳ

---

[1] Εἰ βούλῃ ψάλλε τὸ ἀνωτέρω δίχορον ὀκτώηχον Δοξαστικόν· εἰ δέ, εἰπὲ τὸ ἑπόμενον αὐτομονόχορον.

Κόρη, πρέσβευε διὰ παντός, ἀσάλευτον διατηρεῖσθαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας, τὴν Ἐκκλησίαν δεόμεθα.

*Ἦχος α'.*

Ἐν σοὶ αὔτη, καυχωμένη κρατύνεται.

*Δόξα. Ἦχος πλ. β'.*

Σήμερον φαιδρῶς ἐξέλαμψεν, ὡς ἀστὴρ νεοφανής, ἡ νέα πανήγυρις, τοῦ Ἱεράρχου Νεκταρίου, τὴν Ἐκκλησίαν καταλαμπρύνουσα. Δεῦτε οὖν Ὀρθοδοξίας οἱ τρόφιμοι, ἐν φωνῇ ἀγαλλιάσεως, τούτῳ ἐκβοήσωμεν· χαίροις ὁ τῆς ὕλης μὴ περιπαρεὶς τῇ πλεκτάνῃ, ἀλλ' ὡς εὐῶδες ῥόδον ἐν μέσῳ ἀκανθῶν βλαστήσας· χαίροις ὁ τῇ παιδείᾳ τὴν ἀρετὴν συνάψας, ἐξ οὗ τῆς Θείας υἱοθεσίας, ἐθησαύρισας τὸν πλοῦτον· χαίροις τῆς εὐσεβείας ὁ λαμπτήρ, ἱεραρχίας ὁ γνώμων, καὶ τῆς Αἰγίνης πολιοῦχος Θεόσδοτος. Διό, παμμάκαρ Νεκτάριε, τῷ τῆς μεγαλωσύνης θρόνῳ παριστάμενος, ἀπαύστως ἱκέτευε ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας υἱὸς μονογενὴς ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ Ἀναγνώσματα.

***Παροιμιῶν τὸ Ἀνάγνωσμα.***

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ



γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐσταμαι ἐμὴν φωνήν, υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον μου χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

***Σοφίας Σολωμῶντος τὸ Ἀνάγνωσμα.***

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκταῖς αὐτοῦ.

***Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.***

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται· ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα, καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην καὶ ἐξεζήτησα ἐκ νεότητός μου· καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει δικαιοσύνην, καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκεις καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ Σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν Σῶν Θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος Σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου· ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστον ἐστὶ παρὰ σοί· καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

### Εἰς τὴν λιτήν.

**Ἰδιόμελα. Ἦχος α'.**

Εὐφραίνου ἐν Κυρίῳ, ἡ Ὀρθόδοξος Ἐκκλησία, ἀγάλλου καὶ χόρευε, ἡ νύμφη ἡ ἐκλεκτή, τοῦ Μεγάλου Βασιλέως. Ἰδοὺ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



γὰρ ἐν τῇ καθ' ἡμᾶς γενεᾷ κέρας σωτηρίας σοι παρέσχετο, ὁ ἑκουσίως παθῶν ὑπὲρ Σοῦ τὸν ἡγιασμένον αὐτοῦ θεράποντα, Νεκτάριον τὸν θεῖον· δι' οὗ οἱ υἱοί σου, τῇ καλῇ ὁμολογίᾳ κρατύνονται, καὶ δοκησισόφων τὰ ληρήματα, ἐκποδὼν ποιοῦνται· ὅθεν ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι, καὶ ἐν ἰσχύϊ ἀναβόησον. Γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ὅτι μετ' ἐμοῦ ἐστὶν ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος, ὁ καὶ τὸν Ἱεράρχην αὐτοῦ δοξάσας, καὶ παρέχων δι' αὐτοῦ τοῖς τέκνοις μου, εὐφροσύνην καὶ μέγα ἔλεος.

**Ἦχος β'.**

Τίς μὴ σκιρτήσει; ἢ τίς μὴ χορεύσει ἐν πνεύματι, ἐπὶ τῇ καινῇ πανηγύρει, τοῦ Ἱεράρχου Νεκταρίου; Οὗτος γὰρ τῷ θείῳ φόβῳ ἐλλαμφθείς, ἐν καινότητι ζωῆς διέπρεψε, τὸν παλαιὸν ἀποθέμενος ἄνθρωπον ὅθεν καὶ τῆς τοῦ Χριστοῦ εἰκόνος, τοὺς χαρακτῆρας κτησάμενος, τῆς ἀθανασίας τὴν εὐκαρπίαν, ἐν τῇ θνητῇ σαρκὶ ἐξήνεγκεν· ἐξ ἧς καὶ ἡμεῖς γενόμενοι, Ἀποστολικῶς βοήσωμεν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

**Ἦχος γ'.**

Δαυϊτικὴν μελῳδίαν, τῷ ἱερομύστῃ Νεκταρίῳ ψαλμικῶς ᾄσωμεν λέγοντες, Μακάριος εἶ καὶ καλῶς σοι ἔσται, παμμακάριστε Νεκτάριε· σὺ γὰρ τὴν ψυχικὴν κατανοήσας εὐγένειαν· εἰλικρινῶς τῷ Λόγῳ ἐδούλευσας, σωφρόνως καὶ δικαίως πολιτευσάμενος· ὅθεν τὰ πρὸς Θεόν, ἱεροπρεπῶς τελέσας, ὡς Ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, ἐν οἴκῳ Κυρίου ὡς λύχνος ἔλαμψας, ἵνα οἱ εἰσπορευόμενοι βλέπουσι τὸ φῶς, ἐν τῇ σκοτίᾳ τούτου τοῦ αἰῶνος, ἀνυμνοῦντες ἀπαύστως, τὸν Φωτοδότην καὶ Θεὸν ἡμῶν.

**Ἦχος ὁ αὐτός.**

Ἱεραρχικῶς ἐνδιαπρέψας, τὸ δοθέν σοι τάλαντον, Εὐαγγελικῶς ἐπλεόνασας, Θεηγόρε Νεκτάριε· ὅθεν τῆς κοσμικῆς ἀποστὰς συγχύσεως, δι' ἡσυχίας Θεῷ ἡνώθης θεοειδὴς γενόμενος· ἐντεῦθεν ὡς φοῖνιξ ὑψίκομος, ἐν Αἰγίνῃ ἐξήνθησας, τῶν θείων οἰκτιρμῶν καρποδοτῶν τὸν πλοῦτον, καὶ τῶν θαυμάτων τὴν χάριν ἀπονέμων, τοῖς πιστῶς τιμῶσι τὴν μνήμην σου.

*Ἦχος ὁ αὐτός.*

Εὖγε τοῦ πόθου σου, Ἱεράρχα Νεκτάριε, ὑπέρευγε τοῦ βίου σου, ὃν ἀμέμπτως διέδραμας· τίς οὖν μὴ θαυμάσῃ σε, τὸν ὄντως ἀξιάγαστον; Σὺ γὰρ ἐν ταῖς πονηραῖς ἡμέραις, οὐκ ἐνάρκησας τὸ σύνολον, οὐ παρετράπης τῆς κρείττονος στάσεως, ἀλλ᾽ ἐπὶ Κύριον τὰς ἐλπίδας σου θέμενος, χρηστότητα ἐποίησας καὶ δικαιοσύνην ᾑρετίσω· καὶ νῦν τὸν ἀμαράντινον ἀναδησάμενος στέφανον, τῇ οὐρανίῳ Ἱεραρχίᾳ συνήφθης, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε τῶν πιστῶν αἱ πατριαί, δεῦτε ἐν Αἰγίνῃ συνδράμωμεν, δεῦτε καὶ πίστει ὀψώμεθα, ξενοπρεπῆ θαυμάσια· ἰδοὺ γὰρ ἡ δεξιὰ τοῦ Ὑψίστου, Ἀθανάτοις χάρισι δοξάζει, τὸν οὐρανόφρονα Νεκτάριον. Ὅθεν καὶ τῇ φθορᾷ ἀπρόσιτον δείξασα, πηγὴν ἰαμάτων εἰργάσατο, τὸ ἱερὸν αὐτοῦ λείψανον· ἐξ οὗ ἐμφορούμενοι ἀρωματιζούσης δυνάμεως ὀσμὴν ζωῆς ἀντλήσωμεν. Δαυϊτικῶς ἐκβοῶντες. Μέγας εἶ Κύριε! καὶ τῆς μεγαλωσύνης σου οὐκ ἔσται πέρας, δι᾽ ἧς, Φιλάνθρωπε, ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.***

***Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.***

Χαίροις ὁ ἐν ἐσχάτοις καιροῖς, ἐξανατείλας ὡς ἀνέσπερος ἥλιος, ἀκτῖσιν Ὀρθοδοξίας, καὶ τῶν θαυμάτων φωτὶ καταυγάζων πᾶσαν τὴν ὑφήλιον· ὑφ᾽ οὗ ταῖς ἐλλάμψεσιν, ἀθεΐας ἐλήλαται, ἡ σκοτοδίνη, καὶ αἱρέσεων πέπτωκε, τὰ ἀνίδρυτα, καὶ ζοφώδη ὑψώματα· λύχνος ὁ παμφαέστατος, πυρσὸς ὁ ἀκοίμητος, ὁ ἑωσφόρος ὁ νέος, ἡ ἀστραπὴ ἡ τοῦ Πνεύματος· Χριστὸν ἐκδυσώπει, Παμμακάριστε σωθῆναι τοὺς σὲ γεραίροντας.

…ΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



***Στίχος. Τὸ στόμα μου λαλήσει σοφίαν...***

Χαίροις ἡ νεκταρώδης πηγή, ἐξ ἧς ἐκβλύζει, ὑετὸς κόσμῳ ὄψιμος, ὡς ὕδωρ παλινζωΐας, καὶ καταρδεύει ἀεί, τὰς τῆς Ἐκκλησίας Πάτερ αὔλακας· λειμὼν ὁ τοῦ Πνεύματος, ὁ ἀνθήσας λαμπρότητα, χειμῶνος ὥρᾳ, τοὺς καρποὺς τοὺς τῆς πίστεως, καὶ τὰς χάριτας, ἃς Χριστὸς ἐπηγγείλατο· δρόσος ἡ νεοστάλακτος, πιστοὺς ἀναψύχουσα, ἑωθινὴ θεία αὔρα, ἡ τὰς καρδίας εὐφραίνουσα, τῶν σὲ εὐφημούντων, ὡς θεράποντα τοῦ Λόγου, Θεῖε Νεκτάριε.

***Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...***

Χαίροις ὁ ἀπὸ βρέφους Θεῷ, ἀνατεθεὶς ὡς Σαμουὴλ ὁ Θεσπέσιος, καὶ τούτῳ ἱερατεύσας, ὡς Ἀαρὼν ὁ κλεινός, τοῦ Δαυῒδ τὸ πρᾶον μιμησάμενος· διὸ καὶ διέπρεψας, ὡς ποιμὴν ἀκραιφνέστατος, καὶ οἰκονόμος τῆς ποικίλης τοῦ Πνεύματος, Πάτερ, χάριτος, τῆς θεόθεν δοθείσης σοι· ἔνθεν οἷά περ μέλισσα, Πατέρων τοῖς ἄνθεσιν, προσομιλήσας τὸ μέλι, τῆς ἀπαθείας συνήθροισας, δι᾽ οὗ ἀπαμβλύνεις, τῆς ἀπάτης τὴν πικρίαν Θεῖε Νεκτάριε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἔχει μέν, ἡ ἀκατάλυτος Σκηνὴ καὶ ἄμωμος, ἀοίδιμε Νεκτάριε, τὴν ἡγιασμένην ψυχήν σου, προσθήκην ἀγαλλιάσεως, δι᾽ ἧς ὁ Λόγος, τῆς ἀφθαρσίας τὴν εὐπρέπειαν, ἐν τῇ θνητῇ σαρκὶ ἐμορφώσατο. Ἔχει δὲ καὶ τὸ πανέντιμον, καὶ χαριτόβρυτόν σου σῶμα, ἡ στρατευομένη Ἐκκλησία ἐπὶ γῆς, ἔρεισμα ἄσειστον καὶ τεῖχος, καθ᾽ ὁρμημάτων τῆς κακίας καὶ ἐπιθέσεων ἑτεροδόξων καὶ ὑλιστῶν. Στήριξον πανεύφημε, τὰς σαλευομένας καρδίας, ἐν τῷ θεμέθλῳ τῷ στερρῷ, καὶ φρούρει τὴν Αἴγιναν, τὴν ἀεί σε γεραίρουσαν.

***Καὶ νῦν. Θεοτοκίον.***

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμά-

των, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Τό, νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Σηλυβρίας τὸν γόνον καὶ Ἐφας τὸ καύχημα, τῆς Ὀρθοδοξίας τὸν στύλον καὶ Αἰγίνης τὸ ἔρεισμα Νεκτάριον τιμήσωμεν πιστοί, ὡς νέκταρ γὰρ ἀνέβλυσεν ἡμῖν ἐκ πηγῶν τοῦ σωτηρίου ἀρτιφανῶς ἀρδεύων τοὺς κραυγάζοντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἀφθαρτώσαντι, δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς λαμπρῶς σὲ ἁγιάσαντι.

*Ἕτερον. Δόξα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Προσεγγίσας τὸ στόμα τῆς διανοίας σου, τῇ πηγῇ τῆς σοφίας, πάτερ Νεκτάριε, τὸν γλυκασμὸν τὸν ἀληθῆ βρύεις τοῖς πέρασι, καὶ ἐπιρραίνεις δαψιλῶς ἰαμάτων θησαυρὸν τοῖς πίστει προσερχομένοις τῷ ἱερῷ σου Λειψάνῳ, τῷ δοξασθέντι Θείῳ Πνεύματι.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, Χαῖρε καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

*Ἀπόλυσις τοῦ Ἑσπερινοῦ.*

---

## Εἰς τὸν Ὄρθρον

*Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Ὡς δένδρον εὐθαλὲς καὶ ὑψίκομος φοῖνιξ, ἀνθεῖς διὰ παντὸς ψυχικὴν εὐκαρπίαν, ἐξ ἧς διατρέφονται Ἐκκλησίας οἱ τρόφιμοι· σὺ γάρ, Ὅσιε, τὴν διαμένουσαν βρῶσιν κληρωσάμενος, θαυμάτων νέμεις τὸ μάννα τοῖς πόθῳ τιμῶσι σε.



*Δόξα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Φωτισθεὶς ταῖς ἀκτῖσι τοῦ Θείου Πνεύματος, ἐκ νεότητος, Πάτερ, Χριστὸν ἠγάπησας, ἀγγελικὴν διαγωγὴν σοφῶς ἑλόμενος· πρὶν γὰρ ἢ γνῶναι πονηρὸν ἐξελέξω τὸν καλόν, Νεκτάριε Θεοφόρε· καὶ νῦν ἀπαύστως δυσώπει ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν οὐράνιον πύλην τοῦ Παντοκράτορος, τὸν πυρίμορφον θρόνον τοῦ πάντων Ἄνακτος, τὴν Θεοχώρητον σκηνὴν καὶ πολυώνυμον, τὸν οὐρανὸν τὸν λογικόν, δι' οὗ ἐξέλαμψεν λαμπρῶς ὁ Ἥλιος τοῖς ἐν σκότει, τὴν Θεοτόκον Μαρίαν, ἀσματικῶς ὑμνολογήσωμεν.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.*

*Ἦχος γ'. Τὴν ὡραιότητα.*

Τὴν καθαρότητα τῆς πολιτείας σου καὶ τὴν ἁγνότητα τῆς διανοίας σου ὥσπερ θυμίαμα δεκτὸν ὁ Λόγος προσδεξάμενος, ἰαμάτων κρήνην σε ἐν Αἰγίνῃ ἀνέδειξε καὶ ταμεῖον ἄσυλον θεϊκῆς ἀγαθότητος, ἐξ οὗ τῆς εὐλογίας τὴν χάριν διὰ παντός, Πάτερ, καρπούμεθα.

*Δόξα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Καταπλήττει εὐπρεπῶς τὰς διανοίας τῶν πιστῶν καὶ πτοεῖ θαμβητικῶς τὰς διδαχὰς αἱρετικῶν, τοῦ σοῦ Λειψάνου τὸ θαυματούργημα Ὅσιε· ὅτι ὥσπερ ζῶν, πέλεις κοιμώμενος, τὰ σήμαντρα ἐν σοὶ φέρων τῆς χάριτος, καὶ ἀποπνέων μυρίπνοον εὔπνοιαν ὡς ἐξ Ἐδὲμ προσπηγάζουσαν. Μεγάλη ὄντως ἡμῶν ἡ πίστις ᾗ δεδόξασαι, Νεκτάριε!

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ τῶν ὅλων συνοχεὺς οὐσιωδῶς ἐν σῇ γαστρὶ συσχεθεὶς ὡς ἀγαθός, ἄνθρωπος πέφηνε διπλοῦς, μίαν ὑπόστασιν καὶ μετὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σάρκωσιν φέρων ὡς Υἱὸς Πατρὶ ὁμότιμος, Ἄχραντε Ἁγνή, Θεοχαρίτωτε, καὶ τὸν αὐτοῦ Ἱεράρχην Νεκτάριον, πολιτευθέντα ὡς ἄγγελον, κόσμῳ δεικνύει δεδοξασμένον, πρὸς ἀληθείας βεβαίωσιν.

***Μετὰ τὸν Πολυέλαιον. Κάθισμα.***

***Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.***

**Ο**ρθοδόξων δογμάτων ἑρμηνευτής, διδαχῶν θεοφθόγγων ὑφηγητὴς δεικνύμενος ὅσιε, Ἱεράρχης ὡς ἔνθεος, τοῦ ζωηφόρου ξύλου, εἰς κόρον ἐτρύφησας τὴν κοσμικὴν ἀπάτην σοφῶς βδελυξάμενος ὅθεν ἐν Αἰγίνῃ, γεγονὼς τὴν Μονήν σου τῇ πίστει κατέπηξας καὶ Θεῷ καθιέρωσας, Νεκτάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πίστει, τὴν ἁγίαν μνήμην σου.

***Δόξα. Ὅμοιον.***

**Μ**υροθήκη χαρίτων ὑπερφυῶν, πανευῶδες δοχεῖον μυρεψικῶν, φιάλη πολύτιμος, ἀρωμάτων τοῦ Πνεύματος, ἡ σὴ σορὸς ἐδείχθη, βλυστάνουσα πάντοτε ὡς μέλι τὸ ἐκ πέτρας θαυμάτων ἀπόρροιαν· ὅθεν καὶ δαιμόνων ἀπελαύνουσα σμήνη, ψυχῶν ἀρρωστήματα καὶ σωμάτων οἰδήματα θεραπεύει, Νεκτάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

***Καὶ νῦν. Θεοτοκίον.***

**Μ**ανναδόχον Σε στάμνον καὶ λογικήν, φωτοφόρον λυχνίαν καὶ τηλαυγῆ, ὁ θεῖος Νεκτάριος, ἱερῶς ἐπιστάμενος, ταῖς σαῖς φωταγωγίαις καρδίας τὰ ὄμματα ηὐγάσθη καὶ τὴν λήμην ψυχῆς ἀπεκάθηρεν· ὅθεν σὲ Παρθένον, ἐν ταὐτῷ καὶ Μητέρα τοῦ Λόγου πανάφθορον, ἱεροῖς ἐν συγγράμμασι, Θεοτόκε ἐκήρυξε· μεθ' οὗ τὸν σὸν Υἱὸν καὶ Θεόν, ἐκδυσώπει ῥύσασθαι τοὺς δούλους σου, ἐνοχῆς τῶν πταισμάτων, καὶ παντοίων θλίψεων.

***Τὸ Α'. Ἀντίφωνον τοῦ δ'. ἤχου καὶ τὸ Προκείμενον.***

***Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.***



***Στιχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη...***

***Εὐαγγέλιον τὸ ἐν τῷ ὄρθρῳ τῆς 13 Νοεμβρίου.***

***Ὁ Ν'. ψαλμός. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...***

***Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.***

***Ἰδιόμελον. Ἦχος πλ. β'.***

***Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα...***

**Π**άτερ Ἱεράρχα Νεκτάριε, σὺ τὸ νέκταρ τῆς ζωῆς δεξάμενος, τῆς ἀγνωσίας τοὺς χειμάρρους ἐξήρανας· σὺ καὶ τῷ φωτὶ καταυγασθεὶς τῆς ἁγνείας, τῆς ἀνομίας τὴν ὁμίχλην διέλυσας· καὶ νῦν τῷ ἀκροτάτῳ φέγγει προσπελάζων, τὴν τοῦ πόθου σου πλήρωσιν εὕρηκας, τὴν τῶν πραέων γῆν κληρονομήσας· πρέσβευε οὖν ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων τὴν μνήμην σου, Ἀρχιερέων ἀκροθίνιον.

***Εἶτα οἱ Κανόνες.***

***Τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ' καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η'.***

***Κανὼν τῆς Θεοτόκου φέρων τὴν δε ἀκροστιχίδα.***

**Χ**αρᾶς νοητῆς ἀξίωσόν με Κόρη Γερασίμου.

***Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.***

**Ω**δὴν ἐπινίκιον, ᾄσωμεν πάντες Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραήλ· ὅτι δεδόξασται. ***Δίς.***

**Χ**αρίτων τὴν ἄβυσσον ἀποτεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν, σταγόνα γνώσεως ἐπόμβρησόν μοι Ἁγνή, ὅπως ὑμνήσω εὐσεβῶς τὰ μεγαλεῖά σου.

**Α**νήροτος ἄρουρα, Παρθένε ὤφθης, ἀσπόρως ἐκφύσασα ζωῆς τὸν πρύτανιν, τὸν ἐκ θανάτου φθορᾶς ζωοποιήσαντα ἡμᾶς· ὅτι δεδόξασται.

**Ρ**ημάτων αἰνίγματα προφητοφθόγγων, ἐν σοὶ ἐπληρώ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θησαν, Θεοχαρίτωτε· σὺ γὰρ τεκοῦσα Χριστόν, τύπους τοῦ νόμου καὶ σκιὰς εἰς φῶς προήγαγες.

Ανθήσασαν ῥάβδον σε ὁ Ἡσαΐας, Παρθένε, προέγραψεν ἐν θείῳ Πνεύματι· σὺ γὰρ ὡς ἄνθος τερπνὸν τὸν ὡραΐσαντα τὴν γῆν ἄνθεσι τέτοκας.

***Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις. Γερασίμου.***

***Ἦχος ὁ αὐτός. Ἀναστάσεως ἡμέρα.***

Πανηγύρεως ἡμέρα, εὐφρανθῶμεν πιστοί· νέαν γὰρ εὐφροσύνην τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ προεξένησεν ἰδού, φανεὶς ὡς ἀστὴρ ὁ θεῖος Νεκτάριος· δεῦτε πάντες προσέλθωμεν.

Καθαρθῶμεν τὰς ἐννοίας καὶ κατίδωμεν, τίς ὁ ἐκλάμψας ἄρτι· ὁ Ἱεράρχης τοῦ Χριστοῦ, Νεκτάριος ὁ ἱερὸς ἐπέστη ὡς φῶς· αὐτὸς οὖν ἐξήστραψε, τὴν καινὴν ταύτην ἔλλαμψιν.

Οὐρανοὶ μὲν ἐπαξίως χορευέτωσαν, γῆ δὲ ἑορταζέτω· ὅτι ἡ πίστις τοῦ Χριστοῦ θριαμβεύει ἐμφανῶς, ἐξ ἧς ὡς σφραγὶς τοῦ λόγου ἐπέφανεν ὁ θεόφρων Νεκτάριος.

***Θεοτοκίον.***

Γέννησιν ὑπὲρ αἰτίαν ἐσχηκυῖα ἀνδρός, ἔτεκες ἀπειράνδρως τὸν προαιώνιον Θεὸν ἐν ὁμοιώματι σαρκός, Παρθένε Ἁγνὴ καὶ ἄφθορος ἔμεινας. Ὢ τοῦ ξένου ἀκούσματος!

Κανὼν δεύτερος τοῦ Ἁγίου, ἐν ᾧ περιέχεται περίληψις τῶν ὑπ' αὐτοῦ ἐνεργηθέντων θαυμάτων. Φέρει δὲ τὴν ἑξῆς ἀκροστιχίδα.

***Νέκταρ θεουργὸν Νεκτάριέ μοι βλῦσον.***

***Ποίημα τοῦ αὐτοῦ.***

***Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.***

Ναμάτων τοῦ Πνεύματος ἐμφορηθεὶς ὑπεξέκλινας, χειμάρρους Νεκτάριε τῆς ματαιότητος, καὶ ἀνέβλυσας ἀθανασίας ῥεῖθρον, ἀρδεύων ἑκάστοτε τοὺς σὲ γεραίροντας.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐλαία κατάκαρπος Δαυϊτικῶς ἀνεβλάστησας, ἐσχάτοις ἐν ἔτεσιν ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ, καὶ ἱλάρυνας ἡμῶν τὰς διανοίας, ἐλέῳ τῶν πόνων σου, πάτερ Νεκτάριε.

Κοσμήσας τὸν βίον σου ἀπὸ νεότητος ὅσιε, ἠθῶν τῇ σεμνότητι καὶ ἀρετῶν τῷ φωτί, προκεχείρισαι Θεῷ ἱερατεύειν, ὡς σκεῦος ἐπάξιον τοῦ Θείου Πνεύματος.

***Θεοτοκίον.***

Τὴν μόνην ἀπείρανδρον καὶ κυριώνυμον Δέσποιναν, πλουτήσας βοήθειαν, ἠδέως ἤνεγκας τὰ βουλεύματα ἀνθρώπων κακοτρόπων, δαιμόνων τε ἔντασιν, πάτερ Νεκτάριε.

***Καταβασία. Ἀνοίξω τὸ στόμα μου.***

***Ὠδὴ γ'. ὁ Εἱρμός.***

Στερεωθήτω ἡ καρδία μου εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεός, ὁ ἐφ' ὑδάτων οὐρανὸν στερεώσας τὸν δεύτερον καὶ ἑδράσας ἐν τοῖς ὕδασι τὴν γῆν Παντοδύναμε. ***Δίς.***

Σκηνὴ τοῦ Λόγου ἡ ἀμόλυντος, πόλις τοῦ Θεοῦ ἡ περίβλεπτος, ὁ οὐρανὸς ὁ λογικός, ἐξ οὗ κόσμῳ ἐπέφανεν ἀκτὶς θείας ἐπιγνώσεως, ἡ Θεοτόκος ὑμνήσθω μοι.

Νόμους τῆς φύσεως διέλαθες καὶ τὸν Νομοδότην ἀπέτεκες, δίχα φθορᾶς τε καὶ φυρμοῦ, Θεοτόκε ἀπείρανδρε, ἐκ τοῦ νόμου ἐκλυτρούμενον τῆς ἀρᾶς τὸ ἀνθρώπινον.

Ὄρος ἐδείχθης ἀλατόμητον καὶ δασὺ καὶ πῖον ἐν Πνεύματι, ἐξ οὗ ἐπέφανεν ἡμῖν ὁ ἁπτόμενος Δέσποινα, τῶν ὀρέων καὶ καπνίζονται, ὡς φησὶ Δαυῒδ ὁ προπάτωρ σου.

Ἡ κιβωτὸς τοῦ ἁγιάσματος, τὸ θεοπρεπὲς ἱλαστήριον, τῆς εὐδοκίας τοῦ Θεοῦ, ὁ εὐώδης Παράδεισος, ἡ τὸν Λόγον σωματώσασα μεγαλυνέσθω ἐν ᾄσμασι.

*Τοῦ Ἁγίου. Δεῦτε πόμα πίωμεν.*

**Δ**εῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ κρήνης ἀρχαίας ἀναδιδόμενον, ἀλλ' ἐκ πηγῆς τῆς καινῆς τοῦ νέου θεράποντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

**Ν**ῦν πᾶσα πεπλήρωται φωτὸς ἡ Χριστοῦ Ἐκκλησία τῇ φεραυγείᾳ σου· σὺ γὰρ φωτὸς ὡς υἱός, ἀκτῖνας θαυμάτων ἐσαεί, ἀστράπτεις Νεκτάριε.

**Χ**θὲς συνεσταυρώθης τῷ Χριστῷ, κοινωνήσας τῆς τούτου εἰκόνος, Ὅσιε, σήμερον δὲ σὺν αὐτῷ δοξάζῃ, τῆς θείας μετασχὼν εὐκλείας, Νεκτάριε.

*Θεοτοκίον.*

**Ἔ**σχες ἐν γαστρὶ ἄνευ σπορᾶς καὶ τεκοῦσα Παρθένος πάλιν διέμεινας, ὁ δὲ τεχθεὶς οὐ βροτός, ἀλλ' ἄνθρωπος ἅμα καὶ Θεός, ὢ θαύματος Ἄχραντε!

*Δεύτερος. Τοὺς σοὺς ὑμνολόγους.*

**Ἀ**γάπης τὴν ἔλλαμψιν πλουτήσας διέσχες τὸ νέφος τῆς σαρκὸς καὶ φωταυγὴς τεθέασαι, ἱερουργῶν, Νεκτάριε, τῇ παρειμένῃ ὅσιε, ἣν μυστικῶς ἐξυγίωσας.

**Ρ**αντίσματι ὕδατος τοῦ θείου τὴν βλάβην τῶν δένδρων καὶ φυτῶν, ἀπήλασας Νεκτάριε καὶ εὐλογίας πέλαγος, ἐπιφανεὶς ὡς ἄγγελος, τοῖς Αἰγινήταις ἐπήγασας.

**Θ**αυμάτων τὰ ῥεῖθρα ἀναβλύζων, σβεννύεις τὴν φλόγα τῶν παθῶν καὶ παραλύτους, ὅσιε, συσφίγγεις ἐξιώμενος τοὺς δαιμονῶντας χάριτι, τῇ ἐνοικούσῃ τῷ σκήνει σου.

*Θεοτοκίον.*

**Ἐ**φάνης ἐν θρόνῳ καθημένη ἐνδόξως, Ἁγνή, τῷ Ἱερεῖ, καὶ τούτῳ ἐφανέρωσας, ἣν ἔσχε διὰ πίστεως προμήθειάν σου Ἄχραντε, ὁ σὸς θεράπων Νεκτάριος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



***Καταβασίαι. Τοὺς σοὺς ὑμνολόγους.***

***Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.***

**Ε**ὐσεβείας τελέσας τὸν δρόμον, ὅσιε, εὐπρεπείας τῆς θείας τὸ κάλλος εἴληφας καὶ τὸ διάδημα σαφῶς δόξης τῆς κρείττονος καταλιπὼν τοῖς ἐπὶ γῆς τὸ λείψανόν σου τὸ σεπτόν, οὐράνιον θυμηδίαν καὶ νοσημάτων παντοίων ἀλεξητήριον, Νεκτάριε.

***Δόξα, καὶ νῦν. Θεοτοκίον.***

**Τ**ὴν ὑπέρτιμον στάμνον καὶ Θεοχώρητον, τὴν Σιὼν καὶ Θεοβάδιστον, ἀνυμνήσωμεν πιστοὶ καὶ μεγαλύνωμεν, ὅτι ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς, τεκοῦσα ἀπειρογάμως τὸν Ὑπερούσιον Λόγον, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

***Ὠδὴ δ. Ὁ Εἱρμός.***

**Ἐ**ν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακούμ, τὴν τοῦ »Λόγου σάρκωσιν, ἐκήρυττες βοῶν: Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπι»γνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Δόξα τῇ »δυνάμει σου, Κύριε». ***Δίς.***

**Τ**ὴν ἄχραντόν σου μήτραν, ὡς θρόνον ἱερὸν ἀνέδειξε Παρθένε, ὁ Λόγος τοῦ Θεοῦ ὁ ἐν τοῖς κόλποις τοῦ Πατρὸς ἀεὶ ὑπάρχων καὶ ἐν γαστρί σου ὅλος ὅλῳ ἑνωθείς μοι· ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

**Ἡ** πύλη ἣν προεῖδεν ὁ Ἰεζεκιὴλ ἀκτῖσι λαμπομένην σαφῶς παρθενικαῖς, δι' ἧς διῆλθεν ὁ πάντα κτίσας Λόγος καὶ κεκλεισμένην μετὰ τόκον λιπὼν ταύτην, ὕμνοις ἱεροῖς δοξαζέσθω μοι.

**Σ**ιὼν Θεοῦ ὡράθης καὶ κῆπος εὐθαλὴς καὶ κλίνη θεοδόχος καὶ κλῖμαξ ὑψηλή· σὺ γὰρ ἐν νόμῳ τυπικῶς προκηρυχθεῖσα, τὴν τῶν συμβόλων διετράνωσας εἰκόνα τὸν Δημιουργὸν σωματώσασα.

**Ἀ**φλέκτως συλλαβοῦσα τὸ φῶς τὸ ἐκ φωτός, ὡς βάτος

πυρφόρος ἐβάστασας χερσὶ τὸν ἐν πυρὶ πάλαι λαλήσαντα καὶ γνόφῳ καὶ ὥσπερ πῦρ καταναλίσκον ὁραθέντα καὶ τὴν ἁμαρτίαν συμφλέξαντα.

*Τοῦ Ἁγίου. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἐπὶ τῆς θείας φυλακῆς τῶν θεοβρύτων ἀρετῶν στήσας τῆς ψυχῆς τὰς δυνάμεις, Ἱερὲ Νεκτάριε, τὰς πύλας τῆς καρδίας σου ἠνέωξας τῷ Λόγῳ ἐλθόντι, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματί σου, Ὅσιε.

Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός· σὺ δὲ τούτῳ, εἰλικρινῶς ἑπόμενος, ἄμωμος προσηγόρευσαι ἀμέμπτως ἐν τῷ νόμῳ Κυρίου δικαιοσύνης τὴν τρίβον πορευσάμενος.

Ὡς ἐνιαύσιος ἀμνός, τῇ καθαρᾷ σου βιοτῇ, ἤχθης τῷ ἀκάκῳ ποιμένι τῷ τυθέντι ἔνδοξε, ὥσπερ ἀρνίον ἄκακον καὶ σοῦ τὰς ἀναιμάκτους θυσίας προσδεξαμένῳ ψυχῶν εἰς περιποίησιν.

Ὁ προφητάναξ μὲν Δαυΐδ, πρὸ τῆς τοῦ νόμου κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τῆς Αἰγίνης γάννυται πρὸ τοῦ πανσέπτου σκήνους σου πίστει παρεστὼς ἀδιστάκτῳ καὶ τὰς ἰάσεις καρπούμενος, Νεκτάριε.

*Θεοτοκίον.*

Ῥιφθεὶς τῷ ἄνθρακι Ἁγνή, ὁ Ἡσαΐας τὴν ψυχήν, τῆς ὑπερφυοῦς θεωρίας, ἐμφανῶς ἐκήρυττεν. Ἰδοὺ γαστρὶ συλλήψεται, Παρθένος τὸν Προόντα ὡς Λόγον, οὗ νῦν τὴν ἔκβασιν βλέποντες ὑμνοῦμέν σε.

*Δεύτερος. Ὁ καθήμενος ἐν δόξῃ.*

Οὐρανόθεν γῇ διψώσῃ, πληθὺν ὄμβρου κατήγαγες, ὡς Ἠλίας πάλαι, πάτερ Ἱεράρχα Νεκτάριε, καὶ εὐλογήσας τὴν ἄμπελον ἀπέδωκεν, ὢ τοῦ θαύματος! συγκομιδὴν τριπλασίονα.

Ὑψηλῆς ἐπὶ καθέδρας, ὥσπερ λύχνος ἀνέλαμψας, καὶ τὴν Ἐκκλησίαν, θείαις διδαχαῖς κατεκάλλυνας, ἱεραρχίας τῷ φέγγει πυρσευόμενος καὶ ὑψούμενος δι' ἀκραιφνοῦς ταπεινώσεως.



Ῥευματίζουσα ὡς κρήνη ἀφθαρσίας, Νεκτάριε, ἡ σεπτὴ σορός σου τὰ τῶν ἰαμάτων χαρίσματα ἀποδιώκει ψυχῶν τὰ ἀρρωστήματα, κατακλύζουσα τὴν τῶν δαιμόνων ἐπήρειαν.

*Θεοτοκίον.*

Γεννηθεὶς ἐκ σοῦ ἀσπόρως, Θεοτόκε Πανάμωμε, ὁ πρὸ Ἑωσφόρου ἐκ Πατρὸς ἐκλάμψας ὡς γέγραπται, πνευματικῆς κατηξίωσε γεννήσεως τοὺς κραυγάζοντας· δόξα, Χριστέ, τῇ δυνάμει σου.

*Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.*

*Ὠδὴ ε'. Ὁ Εἱρμό.*

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ· ἄλλον γὰρ ἐκ»τός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομάζομεν· ὅτι »Θεὸς ζώντων, καὶ νεκρῶν ὑπάρχεις. *Δίς.*

Ξενίζεις τῇ λοχείᾳ σου Ἀγγέλων τοὺς χοροὺς καὶ σώζεις τῷ σῷ τόκῳ βροτῶν τὰ συστήματα· σὺ γὰρ τὸν Λόγον ἀπεγέννησας, τὸν τὰ διεστῶτα εἰς ἓν συναγαγόντα.

Ἰσχὺν τὴν ὑπερούσιον, ὡς μόνη Ἁγνή, σαρκὸς ἐν ἀσθενείᾳ, τεκοῦσα ἐνίσχυσας τοὺς ἀσθενοῦντας Δέσποινα, καὶ τούτους πρὸς δόξαν ἱκάνωσας θείαν.

Ὡραία καὶ ὑπέρκαλλος ἐγνώσθης Θεῷ ἀκανθῶν ἐν μέσῳ, ὡς κρίνον πανεύοσμον· ὅθεν ἐν σοὶ ἐσκήνωσεν ὁ Λόγος διαπνεύσας ὀσμὴν ζωῆς τῷ κόσμῳ.

Στολὴ ἐκ τῶν αἱμάτων σου ὑφάνθη, Ἁγνή, τῷ ἐν ταῖς νεφέλαις τὸν πόλον ἐνδύοντι καὶ τοῦ Ἀδὰμ τὴν γύμνωσιν χιτῶνι ἀφθαρσίας, περιβαλόντι Λόγῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Τοῦ Ἁγίου. Ὀρθρίσωμεν ὄρθρου.**

Ὀρθρίσας νυκτὶ τῇ τοῦ βίου τῷ ἀνεσπέρῳ Ἡλίῳ, Νεκτάριε θεηγόρε, δικαιοσύνης ἔλλαμψιν, ὡς Ἱεράρχης ὅσιος, θείῳ ἐνεδύσω ἐν Πνεύματι.

Τὴν ἄμεμπτόν σου πολιτείαν, τίς συνορῶν οὐ θαυμάσει Νεκτάριε Ἱεράρχα; σὺ γὰρ καθάπερ ἄγγελος, ἐν τοῖς ἐσχάτοις ἔτεσι, Πάτερ, εὐσχημόνως ἐβίωσας.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ φωτοφόρῳ λειψάνῳ τοῦ μάκαρος Νεκταρίου καὶ νεκταρώδη νάματα καὶ ἀμβροσίας ῥεύματα πάντες ἐξ αὐτοῦ ἀπολαύσωμεν.

**Θεοτοκίον.**

Ἁγίων Ἁγία ὤφθης, τὸν Ὑπερούσιον Λόγον γεννήσασα ὑπὲρ λόγον, τὸν ἐπαναπαυόμενον ἐν τοῖς ἁγίοις, Πάναγνε, καὶ τοὺς γηγενεῖς ἁγιάζοντα.

**Δεύτερος. Ἐξέστη τὰ σύμπαντα.**

Ὁ νοῦς σου τῆς πίστεως ἀνθηφορῶν τὴν δύναμιν αὔξει ἐν καιρῷ τῆς σιτοδείας, ἐν τῇ Μονῇ σου σίτου τὴν ὕπαρξιν, καὶ τὰς πρὸς τὸ ζῆν διατροφὰς πληθύνει δωρούμενος ἀφθονίαν ἑκάστοτε.

Νοσοῦσι τὴν ἴασιν καὶ πάσχουσι τὴν λύτρωσιν τοῖς προσερχομένοις σοι παρέχων, παύεις τὰ χρόνια ἀσθενήματα, καὶ ἀποσβεννύεις χαλεπὴν πυρεσσόντων φλόγωσιν, δρόσῳ, Πάτερ τῆς χάριτος.

Ναμάτων πληρούμενος ζωαρχικῶν, Νεκτάριε, ἔβλυσας, ὢ ξένου τεραστίου! τοῖς τῶν εὐχῶν θείοις ὁρμήμασιν, ὕδωρ ἐν τῷ φρέατι τερπνὸν ὅπερ ἄχρι σήμερον τὸ σὸν θαῦμα προσφθέγγεται.

**Θεοτοκίον.**

Ἐθήλασες Ἄχραντε τὸν πάντας διατρέφοντα καὶ πᾶν



ζῷον Κόρη ἐμπιπλῶντα, τῆς εὐδοκίας αὐτοῦ ὡς γέγραπται καὶ ταῖς σαῖς ἐβάστασας χερσί, τὸν δρακὶ κατέχοντα ὁρατὰ καὶ ἀόρατα.

**Καταβασία. Ἐξέστη τὰ σύμπαντα.**

**Ὠδὴ στ΄. Ὁ Εἱρμός.**

Τὸν Προφήτην Ἰωνᾶν ἐκμιμούμενος βοῶ: Τὴν ζωήν »μου Ἀγαθέ, ἐλευθέρωσον φθορᾶς καὶ σῶσον με, Σωτὴρ τοῦ »κόσμου κράζοντα δόξα σοι. *Δίς.*

Ὁ ἐκλάμψας ἐκ Πατρὸς πρὸ αἰώνων ὥσπερ φῶς ἐκ γαστρός σου προελθὼν ἐπ' ἐσχάτων ἡμερῶν ἐθέωσε, Παρθενομῆτορ, βροτῶν τὸ φύραμα.

Νύμφη ὤφθης εὐπρεπὴς τοῦ Πατρὸς ὡς ἐκλεκτή, Μήτηρ πέφηνας, Ἁγνή, τοῦ Υἱοῦ ὡς εὐκλεὴς τῷ Πνεύματι προαγνισθεῖσα, Θεοχαρίτωτε.

Μυστηρίων θεϊκῶν θησαυρὸς πλουτοποιὸς οὐρανίων δωρεῶν φωτοφόρος κιβωτός, Πανάμωμε, σὺ ἀνεδείχθης κόσμον καινίσασα.

Ἐργαστήριον φρικτὸν καὶ παστὰς φωτοειδὴς τῆς σαρκώσεως Ἁγνή, καθωράθης, τοῦ Θεοῦ, μορφώσαντος δι' εὐσπλαγχνίαν ἀμορφίαν ἡμῶν.

**Τοῦ Ἁγίου. Κατῆλθες ἐν τοῖς κατωτάτοις.**

Κατῆλθες ἐν τῷ τῆς σοφίας βυθῷ καὶ ἐκεῖθεν θησαυροὺς αἰωνίους, ὡς μαργαρίτας ζωῆς, κατεπλούτησας, διὰ βίου καθαροῦ ὡς σοφὸς Ἱεράρχης.

Φυλάξας τὸ εὐγενὲς τῆς ψυχῆς ἀνεπίμικτον ἐκ ῥύπων τῆς ὕλης, ὡς νουνεχὴς καὶ σοφός, βίου ἄϋλον, ᾑρετίσω ἐκ παιδός, ἐλλαμφθεὶς θείῳ φόβῳ.

Σῶτέρ μου, ὁ σὸς Ἀρχιθύτης ὁ ἱερός, πυρσωθεὶς τῶν ἀρε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῶν ταῖς ἀκτῖσι, καθάπερ ἄνθραξ ζωῆς ἄρτι δέδεκται, ζωπυρῶν διὰ παντὸς τῶν ψυγέντων τὰς φρένας.

*Θεοτοκίον.*

Στομάτων ἐκ προφητικῶν σκιωδῶς, ἐν συμβόλοις καὶ αἰνίγμασι θείοις, προκηρυχθεῖσα Ἁγνή, ἀπεκύησας, τὸν λαλήσαντα Χριστὸν διὰ νόμου ὡς θέμις.

***Δεύτερος. Τὴν θείαν ταύτην...***

Καμάτοις πλείστοις ἀνίδρυσας καὶ πόνοις ἱεροῖς ᾠκοδόμησας, Πάτερ Νεκτάριε, τὴν σὴν Μονὴν ᾗ ἀπόκειται τὸ ἱερόν σου σῶμα καὶ χαριτόβρυτον.

Τὸ θεῖον νέκταρ τῆς χάριτος θαυμάτων τὴν πηγὴν τὴν ἀένναον, τὸν νοῦν τὸν ἔνθεον, ὀρθοδοξίας τὴν σάλπιγγα, Νεκτάριον τὸν μέγαν, ὕμνοις τιμήσωμεν.

Ἁγιωσύνῃ λαμπόμενος καὶ τῇ ἀθανασίᾳ κοσμούμενος, ἀφθάρτους χάριτας ἐν τῇ Αἰγίνῃ Νεκτάριε, διὰ παντὸς βλυστάνεις τοῖς προσιοῦσί σοι.

*Θεοτοκίον.*

Ρευστὴν ἐκ σοῦ προσλαβόμενος ὁ ἄρρευστος οὐσίαν Πανάμωμε, ταύτην ἀνέδειξεν ἄρρευστον αὖθις καὶ ἄφθαρτον, δι' ἄκραν εὐσπλαγχνίαν, ὁ Ὑπερούσιος.

***Καταβασία. Τὴν θείαν ταύτην...***

***Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.***

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ· Ἀναλάμψας γὰρ ἐσχάτως πάντας εὔφρανε καὶ κατέρραξεν ἀθέων τὰ φρυάγματα, τούτῳ λέγοντες. Χαίροις, Πάτερ Νεκτάριε.



*Ὁ Οἶκος.*

Ἄνθρωπος οὐρανόφρων ἀνεδείχθης ἐν κόσμῳ, Νεκτάριε Χριστοῦ Ἱεράρχα, καὶ σὺν τῇ ὑλικῇ σου σαρκί, τὴν ἀθανασίαν ἐκαρποφόρησας· διό σου ἐξιστάμενος τὴν πολιτείαν ἐκβοῶ σοι.

Χαῖρε δι' οὗ οἱ πιστοὶ ὑψοῦνται,

Χαῖρε δι' οὗ οἱ ἐχθροὶ θαμβοῦνται

Χαῖρε τῆς σοφίας κρατὴρ ὁ θεόβρυτος,

Χαῖρε τῆς κακίας πρηστὴρ ὁ νεότευκτος,

Χαῖρε οἶκος ἁγιώτατος ἐνεργείας θεϊκῆς,

Χαῖρε βίβλος θεοτύπωτος πολιτείας τῆς καινῆς,

Χαῖρε ὅτι ἀρτίως ἡμιλλήθης Ἁγίοις,

Χαῖρε ὅτι ἐμφρόνως ἐχωρίσθης τῆς ὕλης,

Χαῖρε λαμπρὰ τῆς πίστεως ἔγερσις,

Χαῖρε σφοδρὰ τῆς πλάνης καθαίρεσις,

Χαῖρε ἐν ᾧ ἀφθαρσία χορεύει,

Χαῖρε δι' οὗ νῆσος Αἴγινα χαίρει.

Χαίροις Πάτερ Νεκτάριε.

***Συναξάριον.***

Τῇ Θ'. τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ταῖς καθ' ἡμᾶς πονηραῖς ἡμέραις ἀναλάμψαντος ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νεκταρίου Μητροπολίτου Πενταπόλεως τῆς ἐν Αἰγύπτῳ, καὶ κτίτορος τῆς ἐν Αἰγίνῃ Ἱερᾶς Μονῆς τῆς Ἁγίας Τριάδος τῶν μοναζουσῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Στίχοι.*

Νέκταρ ζωηρὸν δεχθεὶς ἐν τῇ ψυχῇ σου
Νᾶμα, Νεκτάριε, βλύζεις ἀμβροσίας.

***Ἕτεροι.***

Χόρευε πᾶσα Χριστοῦ ἡ Ἐκκλησία,
Ὅτι σοι ἀνέτειλε καινὸς κομήτης.
Ἀμφ' ἐννάτῃ Νεκταρίοιο ἐκ ῥεθέων θυμὸς ἤρθη.

«Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον
ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας».

Οὔτε οἱ χρόνοι, οὔτε οἱ καιροὶ ἔχουσι σημασίαν τινὰ ἐνώπιον τῆς ἀθανάτου ἀρετῆς. «Ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται, ζῇ δ' οὐκ ὄντος σώματος», εἶπέ τις τῶν ἀρχαίων ποιητῶν. Ζῇ δὲ διότι, ὡς λέγει ὁ ἀπόστολος τῶν ἐθνῶν Παῦλος, ὁ ἀγωνοθέτης αὐτῆς, ὁ Χριστός, ἀεὶ ὁ αὐτός ἐστιν: «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας». Μάρτυς δ' ἀψευδὴς τῶν λεγομένων εἶναι καὶ ὁ ἀοίδιμος ἐργάτης τῆς ἀρετῆς Μητροπολίτης Πενταπόλεως Νεκτάριος, ὅστις, ὡς ἄλλος φαεινὸς ἀστὴρ ἀνέτειλε κατὰ τὰς ζοφερὰς ταύτας ἡμέρας, καθ' ἃς τὸ βαθὺ σκότος τοῦ ὑλισμοῦ προσπαθεῖ ἵνα κατακλύσῃ τὸν κόσμον. Εἶναι δ' ὄντως μέγας ὁ ἅγιος Μητροπολίτης Πενταπόλεως Νεκτάριος, τοῦ ὁποίου τὸ ἱερὸν λείψανον μένει καὶ μετὰ θάνατον ἀδιάφθορον, ἀποδίδον ἄρρητον εὐωδίαν, καὶ ἐκχέον θεῖον μύρον, καὶ φέρον πάντα τὰ σημεῖα τῆς ἁγιότητος, οὐχὶ μόνον διὰ τὰ θαύματα, ἅτινα ἔτι καὶ μετὰ θάνατον τελεῖ, ἀλλὰ καὶ διὰ τὰς θείας αὐτοῦ ἀρετὰς καὶ διὰ τὸν θαυμαστὸν αὐτοῦ βίον, ὅστις οὐδὲν ἕτερον ἦτο εἰμὴ συνεχὴς καὶ ἀδιάκοπος ἐργασία τῆς ἀρετῆς.

Οὗτος ὁ μακάριος ἐγεννήθη ἐν Σηλυβρίᾳ τῆς Θρᾴκης, ἐκ γονέων εὐσεβῶν Δήμου καὶ Μαρίας Κεφαλᾶ, τῇ α' Ὀκτωβρίου τοῦ ἔτους 1846 ὀνομασθεὶς ἐκ τοῦ θείου βαπτίσματος Ἀναστάσιος· ἐξ ἁπαλῶν δ' ὀνύχων ἐφαίνετο ὁποῖος ἔμελλεν ἵνα ἀποβῇ ὕστερον, συνετός, πρᾶος, ἐγκρατής, εὐπειθὴς πρὸς τοὺς γονεῖς, οἵτινες καίπερ ἁπλοῖ καὶ ἀπαίδευτοι ἦσαν λίαν εὐσεβεῖς



καὶ ἀνέτρεφον τοῦτον ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου· αὐτὸς δ' ἀπεστρέφετο ἐκ φύσεως τὰ παιδικὰ παίγνια καὶ ηὐχαριστεῖτο εἰς τὸ προσεύχεσθαι καὶ ἀποστηθίζειν ψαλμοὺς καὶ ἱερὰ ἀποφθέγματα καὶ ἐκ παιδικῆς ἡλικίας εἷς πόθος διακαὴς κατεῖχεν αὐτοῦ τὴν καρδίαν, ὅπως δηλαδὴ σπουδάσῃ καὶ καταστῇ ποτε τοῦ εὐαγγελίου κῆρυξ. Ὅθεν ἄγων τὸ 14 ἔτος τῆς ἡλικίας του, ἀνεχώρησεν ἐκ τῆς γενετείρας εἰς τὴν Κωνσταντινούπολιν, ἔνθα προσελήφθη παρά τινος συγγενοῦς ὡς ὑπάλληλος ἐν τῷ αὐτοῦ καταστήματι· ἐν τῷ μέσῳ δὲ κοσμικοῦ θορύβου εὑρισκόμενος, δὲν ἠμέλει τῆς προσευχῆς καὶ τῆς κατὰ τὰς ἑορτὰς φοιτήσεως εἰς τὴν ἐκκλησίαν καὶ τῆς κατ' ἰδίαν μελέτης ἱερῶν καὶ διδακτικῶν βιβλίων· ὅσα δὲ ῥητὰ καὶ ἀποφθέγματα ἐνόμιζεν ὠφέλιμα πρὸς τὸν πλησίον κατέγραφεν ἐπὶ τῶν σακκιδίων, καὶ τῶν περιτυλιγμάτων, ὅπως οἱ ἐκ τοῦ καταστήματος ἀγοράζοντές τι διδάσκωνται ἀναγινώσκοντες ταῦτα, ὡς ἀναφέρει ὁ ἴδιος ἐν τῷ προλόγῳ τοῦ ἐκδοθέντος παρ' αὐτοῦ βιβλίου: «Λογίων θησαύρισμα».

Μετ' οὐ πολύ, ὁ διακαὴς αὐτοῦ πόθος πρὸς τὴν σπουδὴν ἤρξατο πληρούμενος. Ἐγκαταλείψας τὸ κατάστημα, προσελήφθη ὡς παιδονόμος εἰς τὸ ἐν τῷ Μετοχίῳ τοῦ Παναγίου Τάφου Σχολεῖον, ἔνθα μετὰ πολλοῦ ζήλου ἐξετέλεσε τὴν ἀνατεθεῖσαν αὐτῷ ὑπηρεσίαν, διδάσκων εἰς τὰς κατωτέρας τάξεις καὶ διδασκόμενος τὰ τῶν ἀνωτέρων μαθήματα. Ἄγων δὲ τὸ 22ον ἔτος τῆς αὐτοῦ ἡλικίας, ἀνεχώρησεν ἐκ τῆς Κωνσταντινουπόλεως καὶ μετέβη εἰς τὴν Χίον, ἔνθα διωρίσθη διδάσκαλος εἰς τὸ χωρίον Λυθί, ἔνθα διέμεινεν ἔτη ἑπτά, διδάσκων, οὐχὶ μόνον τοὺς μαθητάς, ἀλλὰ καὶ πάντας τοὺς χωρικούς, προτρέπων ἐπὶ τὴν εὐσέβειαν καὶ τὴν ἀρετήν, ζῶν παράδειγμα τῆς κατὰ Θεὸν πολιτείας.

Ζηλωτὴς ὢν ἔνθερμος τοῦ μονήρους βίου, ἐπεσκέπτετο συχνάκις τὴν Ἱ. Μονὴν τῶν ἁγίων Πατέρων καὶ συνδιελέγετο περὶ ἀσκητικοῦ βίου μετὰ τοῦ ὁσιωτάτου κτίτορος ταύτης Παχωμίου· ποθῶν δὲ τὸ ἀγγελικὸν τῶν μοναχῶν σχῆμα, κατετάχθη ὡς ἀδελφὸς ἐν τῇ Ἱερᾷ Μονῇ, ἐν ᾗ καὶ ἐκάρη μοναχὸς μετονομασθεὶς Λάζαρος, καὶ ἐν ᾗ διορισθεὶς καὶ γραμματεύς, ἔμεινεν

...ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ...

ἐπὶ τριετίαν· προσκληθεὶς δὲ ὑπὸ τοῦ Μητροπολίτου Χίου ἀειμνήστου Γρηγορίου, χειροτονεῖται Ἱεροδιάκονος μετονομασθεὶς Νεκτάριος τῇ 15ῃ Ἰανουαρίου, τῇ αὐτῇ ἡμέρᾳ καθ' ἣν ἐβαπτίσθη. Διαμένων δὲ παρὰ τῷ Μητροπολίτῃ ἀδιαλείπτως ἐμελέτα τὰ ἱερὰ τῶν ἁγίων πατέρων συγγράμματα καὶ τὰς ἁγίας Γραφάς, ἡ δὲ καρδία αὐτοῦ κατεφλέγετο ὑπὸ τοῦ πόθου ὅπως σπουδάσῃ τὴν θεολογίαν καί, κατὰ τὸ δυνατόν, φανῇ καὶ αὐτὸς χρήσιμος εἰς τὸ χριστιανικὸν πλήρωμα· ἐφ' ὅσον δὲ ἐμελέτα, ἐπὶ τοσοῦτον καὶ ὁ πόθος τῆς σπουδῆς ηὔξανεν.

Κατὰ θείαν δὲ πρόνοιαν, εὐμοιρήσας πόρων καὶ περατώσας τῷ 1885 τὰς πανεπιστημιακὰς αὐτοῦ σπουδὰς καὶ λαβὼν τὸ πτυχίον τῆς θεολογίας, ἐπανῆλθεν εἰς Ἀλεξάνδρειαν, ἔνθα χειροτονεῖται ὑπὸ τοῦ Σωφρονίου πρεσβύτερος καὶ πνευματικός, καὶ μετ' οὐ πολὺ Μητροπολίτης Πενταπόλεως καὶ ἐπίτροπος αὐτοῦ ἐν Καΐρῳ. Καὶ ἐτέθη πλέον ὁ λύχνος ἐπὶ τὴν λυχνίαν. Πάντες μετὰ θαυμασμοῦ ἠτένιζον πρὸς αὐτὸν καὶ μετὰ πολλοῦ σεβασμοῦ ὡμίλουν περὶ αὐτοῦ λέγοντες: «ἰδοὺ ὁ ἄξιος τοῦ Ὑψίστου λειτουργός· ἰδοὺ ὁ κατάλληλος διὰ τὸν Πατριαρχικὸν θρόνον Ἀλεξανδρείας». Οὗτος ὅμως, ἵνα μὴ δοθῇ καὶ ἡ ἐλαχίστη ὑπόνοια πρὸς τὸν εὐεργέτην του Σωφρόνιον, ὅτι ὄντως ἐπιθυμεῖ τοῦτο, καὶ ἀφ' ἑτέρου προσβληθείσης τῆς ὑγείας του, ἀπεχαιρέτισε τὸν Πατριάρχην καὶ ἦλθεν εἰς τὰς Ἀθήνας τῷ 1889, ἐπὶ τῷ σκοπῷ ὅπως πορευθῇ εἰς Ἅγιον Ὄρος καὶ μονάσῃ ἐκεῖ.

Ἀλλ' ἡ θεία Πρόνοια ἄλλως ᾠκονόμησε τὰ πράγματα, καὶ ὁ Νεκτάριος διωρίσθη ἱεροκήρυξ Καρυστίας· ἐκεῖθεν δὲ μετετέθη εἰς τὴν ἐπαρχίαν Φθιώτιδος, ἔνθα ἐκήρυξε τὸν θεῖον λόγον μέχρι τοῦ 1894, ὁπότε προσκληθεὶς ὑπὸ τοῦ ὑπουργείου τῶν Ἐκκλησιαστικῶν, ἀνέλαβε τὴν διεύθυνσιν τῆς Ριζαρείου Σχολῆς, ἐδίδασκε δὲ εἰς τὰς ἀνωτέρας τάξεις ποιμαντικὴν καὶ ἄλλα μαθήματα. Καὶ εἶναι ἀληθὲς ὅτι πρὸ τοῦ διορισμοῦ τοῦ Πενταπόλεως ὡς διευθυντοῦ, ἡ Ριζάρειος Σχολὴ εὑρίσκετο πάντοτε ἐν ταραχῇ· μόλις ὅμως ἀνέλαβε τὴν διεύθυνσιν οὗτος, εἰρήνευσεν αὕτη καὶ ἔλαβε τὴν κανονικήν της κατεύθυνσιν, διότι, ὡς φιλόστοργος πατὴρ ἐφέρετο πρός τε τοὺς μαθητὰς καὶ λοιπὸν τῆς Σχολῆς προσωπικόν, ὥστε πάντες ἠγάπων αὐτὸν καὶ μεγάλως ἐσέβοντο, ὑπείκοντες ταῖς συμβουλευτικαῖς του νουθεσίαις.



Πάμπολλοι πρὸς αὐτὸν προσήρχοντο ὅπως ἀκούωσι τὰς συμβουλάς του καὶ ἐξομολογηθῶσιν· ἐπειδὴ δὲ γυναῖκες εὐσεβεῖς πολλάκις ἐξέφρασαν πρὸς αὐτὸν τὴν ἐπιθυμίαν, ὅπως ἀσπασθῶσι τὸ ἀγγελικὸν τῶν μοναχῶν σχῆμα, οὗτος ἐπὶ πολὺ παρεκάλει τὸν Κύριον, ὅπως εὐδοκήσῃ καὶ κτίσῃ Μονὴν πλησίον τῶν Ἀθηνῶν. Καὶ ὁ Θεὸς ὅστις, ὡς λέγει ἡ ἁγία Γραφή, «τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιεῖ», εἰσήκουσε τῆς αὐτοῦ δεήσεως καὶ ηὐδόκησεν ὅπως γίνῃ κτίτωρ τῆς ἐν Αἰγίνῃ Ἱερᾶς Γυναικείας Μονῆς τῆς Ἁγίας Τριάδος, ἥτις συνετελέσθη μετὰ δωδεκαετίαν μὲ ἀτρύτους κόπους καὶ ἀγῶνας τοῦ ἁγίου Ἱδρυτοῦ, ὅστις ὅλως ἄγρυπνος διὰ τὴν ἐφαρμογὴν τῶν ἱερῶν διατυπώσεων ἔν τε τῇ κεκανονισμένῃ δοξολογίᾳ, ψαλμῳδίᾳ καὶ τῇ ἀπαραμίλλῳ εὐταξίᾳ, σεμνότητι, ἀγγελικῇ πολιτείᾳ καὶ τῇ ἐν Χριστῷ διαγωγῇ, ἀπέτρεπε πᾶν τὸ ἀπᾶδον καὶ μὴ ἁρμόζον τῷ μοναχικῷ βίῳ καὶ ἰδίᾳ τὴν ἐλευθέραν εἴσοδον τῶν ἀνδρῶν ἐν τῇ Μονῇ, ἐφαρμόσας πλῆρες κοινοβιακὸν πολίτευμα.

Παρ' ὅλας δὲ τὰς φροντίδας τῆς Μονῆς δὲν ἐγκατέλειψε καὶ τὸ συγγράφειν βιβλία ὠφέλιμα διὰ τοὺς ἐν τῇ κοινωνίᾳ χριστιανούς· ἔγραψε δὲ οὐκ ὀλίγα καὶ ἐξέδωκε τὰ πλεῖστα ἐξ αὐτῶν, οἷον α'. Λόγοι ἐκκλησιαστικοί, β'. Λόγοι διάφοροι, γ'. περὶ τῶν Ζ'. Οἰκουμενικῶν Συνόδων, δ'. περὶ Μυστηρίων, ε'. περὶ Ἀποκαλύψεως τοῦ Θεοῦ, ϛ'. περὶ Ἀνθρώπου, ζ'. περὶ Ἐπιμελείας Ψυχῆς, η'. περὶ Ἀληθοῦς καὶ Ψευδοῦς Μορφώσεως, θ'. Λογίων Θησαύρισμα, ι'. Χριστιανικὴ Ἠθική, ια' Ποιμαντική, ιβ'. Ἱερὰ Κατήχησις, ιγ'. Χριστολογία, ιδ'. περὶ Ἀθανασίας ψυχῆς, ιε'. Εὐαγγελικὴ Ἱστορία, ιϛ'. Μελέτη περὶ Μετανοίας, ιζ'. περὶ Ἐξομολογήσεως, ιη'. περὶ τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας, ιθ'. περὶ τῶν Ἁγίων τοῦ Θεοῦ, κ'. Προσευχητάριον, κα'. Γνῶθι Σαυτόν, κβ' Θεοτοκάριον, κγ'. Πανδέκτην τῶν Θεοπνεύστων Γραφῶν, κδ'. Ψαλτήριον Ἐντεταμένον, κε'. Τριαδικὸν Ἔμμετρον, κϛ' Κεκραγάριον Ἱεροῦ Αὐγουστίνου, κζ'. Μελέτη περὶ τῶν αἰτιῶν τοῦ Σχίσματος, κη'. περὶ τῆς Μιᾶς Ἁγίας καὶ Ἀποστολικῆς Ἐκκλησίας, κθ'. περὶ Ἱερᾶς Παραδόσεως, λ'. περὶ Θείων Μυστηρίων, λα'. Μελέτη Ἱστορικὴ περὶ τοῦ Τιμίου Σταυροῦ, λβ'. περὶ τῆς Ἀειπαρθένου Θεοτόκου, λγ'. περὶ Μνημοσύνων. Ταῦτα ἐξέδωκεν εἰς τύπον ἐν Καΐρῳ, ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ἀθήναις. Τὰ δὲ ἀνέκδοτά

ΠΑΝΑΓΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

εἰσι τὸν ἀριθμὸν δώδεκα· πάντα ὅμως ταῦτα δεικνύουσι τὴν ἐμβριθῆ αὐτοῦ μόρφωσιν καὶ τὴν ἀληθῆ ἀγάπην πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον.

Μετὰ τὴν ἀποκατάστασιν αὐτοῦ ἐν τῇ Μονῇ, ἔζη ὅλως πνευματικὸν βίον, εὑρισκόμενος πάντοτε εἰς τὴν θείαν θεωρίαν, ὡς ὁ μέγας Ἀρσένιος καὶ οἱ λοιποὶ λεγόμενοι νηπτικοὶ πατέρες.

Σεβάσμιος, πρᾶος, μειλίχιος, ταπεινὸς καὶ εἰς τὸ ἔπακρον συμπαθὴς καὶ τὰ μάλα ἐλεήμων· πολλὰ δὲ ἅτινα διηγοῦνται αἱ ἀδελφαὶ τῆς Μονῆς περὶ αὐτοῦ καὶ ἄλλοι, συντομίας χάριν, παραλείπομεν· ἠγωνίζετο τὸν ἀγῶνα τὸν καλόν, μέχρις ὅτου ἦλθεν ὁ καιρὸς νὰ πορευθῇ πρὸς τὸν ποθούμενον Χριστὸν καὶ λάβῃ τῆς δικαιοσύνης τὸν στέφανον. Μετὰ πολυώδυνον νόσον, εἰς ἣν ἀντέσχε γαλήνιος καὶ καρτερικὸς πλέον τῶν ἓξ μηνῶν, παρέδωκε τὸ πνεῦμα πρὸς Κύριον, τῇ 10ῃ ὥρᾳ καὶ 30' πρὸ τοῦ μεσονυκτίου τῆς 8 Νοεμβρίου 1920, ἄγων τὸ 74 ἔτος τῆς ἡλικίας.

Τὸ δὲ τίμιον αὐτοῦ λείψανον αὐθημερὸν μετέφερον εἰς τὴν Αἴγιναν καὶ ἐκεῖθεν, ὡς θησαυρὸν πολύτιμον, εἰς τὴν ἑαυτοῦ Μονήν, καὶ ἐνεταφίασαν αὐτὸ ἐν σεμνοπρεπεστάτῃ πομπῇ εἰς τὸν τάφον, ἔνθα προωρίσθη ὑπὸ τῆς θείας προνοίας.

Μετὰ συμπλήρωσιν δὲ τριετίας ἀπὸ τοῦ θανάτου του ἀνοίξασαι αἱ ἀδελφαὶ τῆς μονῆς τὸν τάφον, εὗρον τὸ τίμιον λείψανον ἀδιάφθορον καὶ ἀποδίδον εὐωδίαν. Ὅθεν ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Ἀθηνῶν κ. Χρυσόστομος, μετ' ἐνδιαφέροντος εὐλαβοῦς ἐξετάσας αὐτοπροσώπως, διέταξεν ἵνα αὖθις ἐναποθέσωσιν αὐτὸ ἐκεῖ, καὶ ἅμα τῇ συμπληρώσει ἑπταετίας ἀπὸ τῆς αὐτοῦ κοιμήσεως, τελέσωσι τὴν ἀνακομιδήν του, ὡς ἡγιασμένου πλέον λειψάνου.

Πολλοὶ μετέβησαν ἵνα ἐκ τοῦ σύνεγγυς ἴδουν τὰ γενόμενα καὶ ἀνεφώνουν μετὰ συγκινήσεως «ὄντως ὁ Μητροπολίτης Πενταπόλεως Νεκτάριος ἔλαβε παρὰ τοῦ Θεοῦ τὸ χάρισμα τῆς ἁγιότητος, ὡς οἱ ἅγιοι τῆς ὀρθοδόξου ἡμῶν πίστεως !».

Θαύματα οὐκ ὀλίγα ἐτέλεσε ζῶν καὶ τελεῖ μετὰ θάνατον ὁ ἀείμνηστος, ἅτινα, συντομίας χάριν παραλείπομεν ὡς τὰ πολλά, διότι, ὡς λέγει ὁ Θεολόγος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ Μ. Βασιλείου «τὰ θαύματα διὰ τοὺς ἀπίστους καὶ οὐχὶ διὰ τοὺς πιστούς. Σημεῖα δὲ τῶν ἁγίων ἀνδρῶν εἰσιν ὁ κατὰ Θεὸν αὐτῶν βίος καὶ ἡ ἔνθεος αὐτῶν πολιτεία». Ἀλλὰ μαρτύριον ἀψευδέ-



στατον δὲν εἶναι ἡ ἀναδιδομένη ἐκ τοῦ ἁγίου λειψάνου εὐωδία, ὡς τρανότατον σημεῖον τῆς ἐν αὐτῷ ἐπινεύσεως καὶ μετὰ θάνατον τῆς θείας χάριτος τοῦ Ι. Χριστοῦ, ὅστις κατὰ τὸν Ἀπόστολον Παῦλον «χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας».

Ἐκ τῶν πολλῶν ὅμως θαυμάτων, ἅτινα ἐν ειδικῇ ἀναγράφονται βίβλῳ, ἐλάχιστα ἀνακοινοῦντες, σημειοῦμεν ὅτι γυνή τις πάσχουσα δεινῶς ἀπὸ μακροῦ χρόνου ἐκ σφοδρᾶς κεφαλαλγίας καὶ μὴ δυναμένη τυχεῖν θεραπείας, προσῆλθε πρὸς τὸν Σεβασμιώτατον, ὅστις εὐλογήσας αὐτὴν καὶ εὐχηθεὶς ἐθεράπευσε δοξάζουσαν τὸν Θεόν.

Γεωργὸς δέ τις διερχόμενος ἐκ τῆς Μονῆς εἶπε θρηνολογῶν εἴς τινα Μοναχήν: «Δὲν λέγεις εἰς τὸν Σεβασμιώτατον, ἵνα παρακαλέσῃ τὸν Θεόν, ὅπως βρέξῃ διότι κινδυνεύουν τὰ ζῷα ἡμῶν νὰ καταστραφῶσι τελείως ἐκ τῆς ἀνομβρίας»; Καὶ ἡ Μοναχὴ εἰσελθοῦσα εἶπε τοὺς λόγους τοῦ χωρικοῦ πρὸς τὸν Σεβασμιώτατον, ὅστις ἐγερθείς, ἐξέτεινε τὰς χεῖρας καὶ προσηυχήθη ἱκανῶς· καί, ὢ τοῦ θαύματος ! Δὲν παρῆλθεν ἐλαχίστης ὥρας διάστημα καὶ ἰδοὺ ραγδαία βροχὴ ἐπῆλθεν, ἥτις διήρκεσε δι' ὅλης τῆς νυκτός.

Μετὰ τὴν κοίμησιν τοῦ Ἁγίου Πατρὸς Νεκταρίου, ἤτοι κατὰ τὸ ἔτος 1922, κόρη τις ἐκ τοῦ χωρίου Κόκλα τῶν Θηβῶν ὀνόματι Κωνσταντίνα Μακρῆ, ἐκ μικρᾶς ἡλικίας βασανιζομένη ὑπὸ ἀκαθάρτου πνεύματος, προσήχθη ὑπὸ τῶν πιστῶν γονέων της, ἀκουσάντων τὴν θαυματουργὸν δύναμιν τοῦ Ἁγίου ἵνα προσκυνήσῃ τὸν τάφον αὐτοῦ, ὅπως τύχῃ τῆς ποθουμένης ὑγείας. Αὕτη προσκυνήσασα καὶ μείνασα ὀλίγας ἡμέρας εὗρε τὴν ποθουμένην ὑγείαν. Ἔκτοτε δὲ παρέμεινεν εἰς τὴν εὐαγῆ Αὐτοῦ Μονήν, ἀφιερωθεῖσα τῷ Θεῷ καὶ γενομένη μοναχὴ μετονομασθεῖσα Καικιλία.

Κατὰ τὸν μῆνα Ἀπρίλιον τοῦ 1916 κόρη ἐκ Πειραιῶς ὀνομαζομένη Αἰκατερίνη Κράκαρη, τὴν παραμονὴν τῆς Ζωοδόχου Πηγῆς (14ην Ἀπριλίου) κατὰ τὸν ἑσπερινὸν τὸν γενόμενον εἰς τὸν Ναὸν τοῦ Ἁγίου Κωνσταντίνου, ἀσπαζομένη τὰς Ἁγίας εἰκόνας, κρίμασιν οἷς εἶδεν ὁ Κύριος, ᾐσθάνθη ζάλην καὶ πεσοῦσα χαμαὶ προσεβλήθη ὑπὸ ἀκαθάρτου πνεύματος. Ὢ ! καὶ τίς δύναται νὰ διηγηθῇ τὴν ταλαιπωρίαν καὶ κακουχίαν αὐτῆς τῆς κόρης ; Μόνον αὐτόπτης μάρτης δύναται νὰ διη-

γηθῇ τὴν κακίαν καὶ λύσσαν τοῦ ἐχθροῦ καὶ τὰς μηχανοραφίας, ἃς μετεχειρίσθη, ὡς λέων ὠρυόμενος, προσπαθῶν νὰ καταπίῃ αὐτήν. Μετὰ παρέλευσιν ἐνιαυτοῦ (διότι ἐκ μικρᾶς ἡλικίας ἡ κόρη ἐπόθει τὸν μονήρη βίον) οἱ πλησιάζοντες αὐτὴν πνευματικοὶ ἔκριναν καλὸν νὰ κείρουν αὐτὴν μοναχήν, ἴσως τὴν ἠλέει ὁ Θεός. Καὶ κείραντες ταύτην μοναχὴν μετωνόμασαν Παρθενίαν. Ἀλλ' ἄλλαι μὲν βουλαὶ ἀνθρώπων, ἄλλα δὲ Θεὸς κελεύει. Ἡ ὑγεία της ἐπεδεινώθη, τὸ δὲ πνεῦμα ἐφώναξε «στάδιον εἶναι θὰ πολεμήσωμεν στῆθος μὲ στῆθος (πῶς αὐτὴ θὰ πάρῃ τὴν θέσιν μου; Σὺ καρφωμένε τὴν ψυχὴν καὶ ἐγὼ τὸ σῶμα ὅποιος νικήσῃ), τοὐλάχιστον νὰ τὴν πεθάνω νὰ καυχηθῶ ὅτι κάτι ἔκαμα, δὲν ἔφυγα ἄπρακτος». Τέλος κατὰ τὸν Ὀκτώβριον τοῦ 1925 ἐδεινώθη ἔτι περισσότερον ἡ ἀθλιότης. Σπαρακτικὸν θέαμα! Νυχθημερὸν δὲν ἡσύχαζεν οὔτε ἔτρωγεν, οὔτε ἐκοιμᾶτο. Ἀνηλεῶς ταύτην ἐσπάραζε τὸ πνεῦμα, ἕως οὗ ἄφινε ταύτην ἡμίθνητον, τὸ δὲ πνεῦμα ἐφώναζεν «Ἕνα Καψάλη εἴχαμεν τὸν Γεράσιμον, τώρα ἔχομε καὶ δεύτερον τὸν Νεκτάριον τὸν νυχᾶ. Ὦ! συμφορά μας, ὅταν αὐτὸς ὑψώνῃ τὸ βλέμμα του, οὐαὶ καὶ ἀλλοίμονον! Φωτιὰ ποῦ μᾶς καίει, διότι ὁ Γεράσιμος εἶναι Παπᾶς, ἀλλ' ὁ νυχᾶς εἶναι Δεσπότης, εὑρίσκεται κοντὰ εἰς τὴν Ἁγίαν Τριάδα, ὅταν ἀνέβαινε τὸν ἠρώτησαν «Τί χάριν θέλεις Νεκτάριε»; καὶ εἶπε «μίαν χάριν ζητῶ, τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, διότι πολὺ μὲ ἐβασάνισαν εἰς τὸν κόσμον. Ὦ! μαστίζομαι, βιάζομαι νὰ εἴπω τὴν ἀλήθειαν, ξέρετε διατὶ ἔλαβεν ὅλην αὐτὴν τὴν ἐξουσίαν, διότι ἐγκατέλιπε Πατριαρχικὸν Θρόνον καὶ ἐπῆγε στὸ βουναλάκι τῆς Αἰγίνης μὲ 40 γυναικοῦλες καὶ ἔκαμε π. . .». Δὲν ἠδύνατο νὰ προσφέρῃ τὴν λέξιν Παρθενῶνα, ἀλλ' ὅταν ὁ ἱερεὺς τὸν ὥρκισε εἰς τὸ ὄνομα τῆς Ἁγίας Τριάδος, τὸ εἶπε.

Ἐπὶ τέλους, τὸν Ἀπρίλιον τοῦ 1926, βλέπει ἡ μοναχὴ εἰς τὸν ὕπνον της τὸν Ἅγιον, ὅτι εἶχε μεταβῇ εἰς τὴν Μονὴν καὶ ἤνοιξεν ὁ Τάφος καὶ ἐξῆλθεν ὁ Ἅγιος ἐνδεδυμένος τὰ Ἱερὰ αὐτοῦ ἄμφια. Ἦσαν δὲ εἰς τὸ ἐπάνω μέρος τοῦ Τάφου δύο προσκυνηταί, καὶ λέγει εἰς τὸν ἕνα ἡ αἴτησίς του θὰ γίνῃ σύντομα, εἰς δὲ τὸν ἄλλον λέγει ἡ ἰδική του εἶναι ἀμφίβολος μᾶλλον δὲν θὰ γίνῃ, μεθ' ὃ στρέφει πρὸς τὴν πάσχουσαν καὶ λέγει: σὺ τί εἶσαι; καλογρηά; γνωρίζεις πῶς ἐξηγεῖται ἡ λέξις αὐτή;



ἀπεκρίθη ἡ νέα: ὄχι. Τότε τῆς λέγει ὁ Ἅγιος, ἡ λέξις καλογρηὰ ἐξηγεῖται ὑπομονὴ καὶ πίστις. Ποῦ γνωρίζεις σὺ τὰ μεγαλεῖα τοῦ Θεοῦ; Ἐγὼ στὴν δοξολογίαν εὐλογῶ πάντοτε τὴν ἀδελφότητα. Ἐὰν σὲ εὐλογήσω (καὶ συγχρόνως τὴν ἐσταύρωνε μὲ τὴν δεξιάν του εἰς ὅλον τὸ σῶμα) καὶ γίνῃς καλά, καὶ δὲν τὸ πάρῃ κανεὶς εἴδησιν, μὰ κανεὶς οὔτε καὶ σὺ ἡ ἰδία, δὲν θὰ τὸ καταλάβῃς πῶς θὰ θεραπευθῇς. Τότε τοῦ λέγει ἡ πάσχουσα: καὶ καλὰ ὅταν θὰ θεραπευθῶ τί θὰ γίνω; Τὴν στιγμὴν ἐκείνην, ὡς νὰ ἦτο καὶ ἡ Ἡγουμένη πλησίον, τὴν λαμβάνει ἀπὸ τὴν χεῖρα καὶ τὴν πηγαίνουν εἰς τὸν ἔσω ξενῶνα, καὶ τῆς λέγουν: δὲν σὲ ἀρκεῖ αὐτὸς ὁ τόπος νὰ παραμείνῃς; Καὶ ἀμέσως ἐξύπνησεν ἡ κόρη. Ἔκτοτε ἤρχισεν ἡ δύναμις τοῦ ἐχθροῦ νὰ κατευνάζηται ἐπαισθητῶς. Τὴν 26ην Ἀπριλίου τοῦ αὐτοῦ ἔτους Μ. Δευτέραν, ἡ μοναχὴ μετὰ τῆς μητρός της μετέβησαν εἰς τὴν Μονὴν διὰ νὰ προσκυνήσουν τὸν Ἅγιον. Εἰς τὸ πλοῖον ᾐσθάνετο ἕναν ἀέρα νὰ φεύγῃ ἀπ' ἐπάνω της, ὅταν δὲ ἀπεβιβάσθη εἰς τὴν Αἴγιναν ἐνόμιζεν ὅτι εἶχε πτερά, τόσον ἐλαφρὸν ᾐσθάνθη τὸν ἑαυτόν της. Ὅταν δὲ ἔφθασεν εἰς τὴν Μονήν, ᾐσθάνθη τὸν ἑαυτόν της ἀπηλλαγμένον ἀπὸ τὴν ἐπήρειαν τοῦ ἐχθροῦ, παρέμεινε δὲ νὰ σαραντίσῃ. Μετὰ δεκαπενθήμερον διαμονήν της, εἶδε καὶ πάλιν τὸν Ἅγιον μὲ τὸ σκουφάκι του, τὸ ἐπιτραχήλιον καὶ τὶς παντουφλίτσες του, καὶ τῆς ἔνευσε νὰ τὸν πλησιάσῃ. Καὶ τότε τῆς εἶπε χαμηλοφώνως: «βλέπεις ποῦ ἔγινες καλά; καὶ σὺν τῷ χρόνῳ ἀκόμη καλλίτερα θὰ γίνεσαι. Καὶ ἀνεστέναξεν ὁ Ἅγιος λέγων: «ἄχ! πόσα εἶχες ὑποστῇ! καὶ τὴν ἐσταύρωσε μὲ τὸν σταυρόν. Ἡ ἰαθεῖσα παραμένει καὶ σήμερον ἐν τῇ Μονῇ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ πρεσβειῶν τοῦ Ἁγίου χαίρουσα ἄκρας ὑγείας.

Κατὰ τὸ 1928, ἡ ἀδελφὴ τῆς ἐκ Θηβῶν καταγομένης μοναχῆς, ὀνομαζομένη Βασιλική, ἦλθεν εἰς τὴν Μονὴν διὰ νὰ μονάσῃ, ἀλλὰ τῇ παραχωρήσει τοῦ Θεοῦ, εἰς ὀλίγους μῆνας προσεβλήθη καὶ αὐτὴ ἀπὸ δαιμόνια δεινά. Δι' ὃ ἠναγκάζοντο αἱ μοναχαὶ νὰ τὴν δένουν μὲ ἁλύσεις, ἀλλὰ μετὰ παρέλευσιν χρονικοῦ διαστήματος, διὰ πρεσβειῶν τοῦ Ἁγίου ἐθεραπεύθη, ἐγένετο δὲ μοναχὴ μετονομασθεῖσα Νυμφοδώρα.

Κατὰ τὸ ἔτος 1930 κόρη τις καταγομένη ἐκ Πατρῶν ὀνομαζομένη Κλεοπάτρα Ραυτοπούλου, ἔπασχε καὶ αὐτὴ ἐκ δεινοῦ ἀκαθάρτου πνεύματος. Μαθοῦσα δὲ τὴν ἰαματικὴν δύνα-

μιν τοῦ Ἁγίου καὶ ἐπειδὴ ἐσκέπτοντο οἱ οἰκεῖοι της νὰ τὴν κλείσουν εἰς ψυχιατρεῖον, παρεκάλεσε μίαν φίλην της νὰ τὴν συνοδεύσῃ νὰ μεταβῇ πρὸς προσκύνησιν αὐτοῦ διὰ νὰ λάβῃ τὴν ποθουμένην ὑγείαν της. Καὶ ὄντως μεταβᾶσα καὶ προσκυνήσασα τὸν Ἅγιον, ἐπὶ τρεῖς ὁλοκλήρους ὥρας ἐσπαράττετο ἀπὸ τὸ πνεῦμα πλησίον τοῦ Τάφου τοῦ Ἁγίου, δεδεμένη οὖσα μὲ σχοινίον, μεθ᾽ ὃ ἀφῆκεν αὐτὴν τὸ πνεῦμα ἥσυχον. Μεταβᾶσα δὲ αὕτη εἰς τὰς Πάτρας, ἔγραψεν ὅτι ἐθεραπεύθη παντελῶς.

Κατὰ τὸ αὐτὸ ἔτος δεκαέτις κόρη καταγομένη ἐκ Χαλανδρίου ὀνομαζομένη Κωνσταντίνα Ντάβαρη, ὅταν μίαν ἡμέραν ἐβλασφήμησεν αὐτὴν ἡ μάμμη της, ἀμέσως προσεβλήθη ὑπὸ πονηροῦ πνεύματος καὶ ὕβριζε τὰ θεῖα καὶ διάφορα ἄλλα. Τότε ἡ μήτηρ της, παραλαβοῦσα ἔφερεν αὐτὴν εἰς τὸν τάφον τοῦ Ἁγίου, πλὴν ὅμως τὸ πνεῦμα δὲν ἄφινε ταύτην νὰ προσκυνήσῃ, ἀλλ᾽ ὕβριζε τὸν Ἅγιον μὴ θέλουσα νὰ χρισθῇ μὲ ἔλαιον ἐκ τῆς κανδήλης, οὔτε νὰ πίῃ, ἀλλ᾽ ὅταν τῆς τὸ ἔδιδον τὸ ἔπτυε λέγουσα ὅτι βρωμᾶ κλπ. Μεταβᾶσα κατόπιν τούτου εἰς τὴν πατρίδα της διὰ πρεσβειῶν τοῦ Ἁγίου ἐθεραπεύθη ἀφιερώσασα ἀργυρᾶν κανδήλαν εἰς τὸν Ἅγιον καὶ δὶς τοῦ ἔτους μεταβαίνουσα εἰς προσκύνησιν αὐτοῦ καὶ χαίρουσα ἄκρας ὑγείας.

Τὸ 1936 κατὰ τὸν μῆνα Μάϊον παραμονὴν τῆς Ἀναλήψεως ἔφερον μίαν κόρην καταγομένην ἐκ Μεθάνων ὀνόματι Μαρίαν Γκιώνη ἥτις ἦτο δεκαεπταέτις καὶ δεινῶς πάσχουσα καὶ βασανιζομένη ὑπὸ πονηροῦ πνεύματος. Πολλὰ δαπανήσαντες οἱ γονεῖς της εἰς τοὺς ἰατρούς, μὴ εὑρίσκουσα δὲ καμμίαν βελτίωσιν τῆς ὑγείας της, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα. Μὴ ὑποφέροντες οἱ οἰκεῖοι της, τὴν ἐνέκλεισαν ταύτην εἰς τὸ θεραπευτήριον τοῦ Δρομοκαϊτίου. Μὴ ἀνεχόμενοι δὲ οἱ νοσοκόμοι τὰς ζημίας τὰς ὁποίας καθ᾽ ἑκάστην ἐπροξένει, ἐνέκλεισαν ταύτην μὲ μανδύαν καὶ χειροπέδας ἵνα μὴ δύναται νὰ κινῆται, ὅπου παρέμεινεν ἐκεῖ ἐπὶ ἑξάμηνον ἄνευ καμμίας βελτιώσεως, μᾶλλον δὲ χειροτερεύουσα. Ὁ δυστυχὴς πατήρ της ἐν τῇ ἀπελπισίᾳ του ἐπὶ τῇ δεινῇ ταύτῃ συμφορᾷ, πληροφορηθεὶς τὰ θαύματα τοῦ Ἁγίου Νεκταρίου ἀπεφάσισε νὰ καταφύγῃ εἰς τὴν πρεσβείαν αὐτοῦ ὅπως λυπηθῇ τὴν δύστυχον κόρην του καὶ ἐπιδαψιλεύσῃ τὴν χάριν του καὶ ἀπαλλάξῃ ταύτην τῆς ἐπαράτου νόσου. Ὅθεν, παραλαβὼν αὐτὴν ἐκ τῆς κλινικῆς, ἄπελπις μετὰ



τῆς ἑτέρας θυγατρός του, τὴν ἔφερεν εἰς τὴν Μονὴν φοροῦσαν τὸν μανδύαν. Μόλις εἰσῆλθεν ἡ κόρη εἰς τὴν Μονὴν ἔκαμε μεγάλην ἀνησυχίαν· εἰς τὴν ἐκκλησίαν ἐκίνει τοὺς πολυελαίους, προσεπάθει νὰ εἰσέλθῃ εἰς τὸ Ἱερόν, ἐκίνει εἰς τὸν τάφον τοῦ Ἁγίου τὰς κανδήλας καὶ προσεπάθει κάθε ζημίαν νὰ κάμῃ. Ἀδύνατον δὲ ἦτο νὰ προσκυνήσῃ τὸν Ἅγιον. Διὰ νὰ δύνανται δὲ νὰ ἀκούσωσιν αἱ ἀδελφαὶ τὴν λειτουργίαν ἔκλιναν τὰς ἐξωθύρας τοῦ Ναοῦ, διότι ἦτο ἀδύνατον νὰ συνεννοηθοῦν αἱ ψάλτριαι μετὰ τοῦ ἱερέως εἰς τὰς αἰτήσεις ἀπὸ τὰς φωνάς της. Καθ᾽ ἑκάστην ὁ ἱερεὺς ἀνεγίγνωσκεν εἰς τὸν τάφον τοῦ Ἁγίου τοὺς ἐξορκισμούς. Τοῦτο διήρκεσεν ἐπὶ μίαν ἑβδομάδα. Κατόπιν ἤρχισε νὰ συνέρχεται ὀλίγον ἡ κόρη. Ἐν τῷ μεταξὺ ἔφερον καὶ μίαν πάσχουσαν ἐξ ἐπηρείας πονηροῦ πνεύματος καταγομένην ἐκ Χίου ὀνόματι Ἑλένην, τὴν ὁποίαν καὶ αὐτὴν εἶχον εἰς τὸ Δρομοκαΐτιον. Ταύτην συνώδευεν δὲ ὁ σύζυγός της. Αὐτὴν τὴν νύκτα ὁ πατὴρ τῆς κόρης βλέπει εἰς τὸν ὕπνον του τὸν ἅγιον ὅστις τοῦ λέγει : ἡ Ἑλένη αὔριον τὴν μεσημβρίαν θὰ εἶναι τελείως καλὰ (ὡς καὶ ἐγένετο). Ἡ Μαρία σου θὰ ἀργήσῃ ὀλίγον σὺν τῷ χρόνῳ ὅμως θὰ θεραπεύεται (ὡς καὶ ἐγένετο ὁμοίως). Παρέμεινε δὲ ἐπὶ ἑξάμηνον εἰς τὴν Μονὴν καὶ ἀνεχώρησε χαίρουσα ἄκραν ὑγείαν.

Ὁ ἅγιος Νεκτάριος, οὔτε εἰς ἐρήμους ἐπορεύθη, οὔτε ἀσκητικοὺς μεγάλους ἀγῶνας διεξήγαγεν· ἀλλ᾽ ἐντὸς τοῦ κόσμου, ἐν τῇ τύρβῃ καὶ ταῖς περιπετείαις τοῦ παρόντος βίου ζήσας, ἀνήχθη εἰς τοιοῦτον ἐπίφθονον σημεῖον ἁγιότητος, ὡς οἱ μεγάλοι φωστῆρες καὶ ἅγιοι τῆς Ἐκκλησίας ἡμῶν. Δὲν ἀνῆλθεν εἰς στύλους, οὐδ᾽ ἀπεχώρησεν εἰς ἡσυχαστήρια, οὐδ᾽ ἀπεδύθη εἰς ἀθλοφόρους δοκιμασίας καὶ μαρτυρικοὺς διωγμοὺς καὶ τραγικὰς βασάνους, ὡς οἱ μεγάλοι ἐκεῖνοι ἀγωνισταὶ τῆς ἁγίας ἡμῶν θρησκείας, ἀλλὰ δυνάμεθα εἰπεῖν, ὅτι σύμπας ὁ βίος αὐτοῦ οὐδὲν ἕτερον ἦτο, εἰμὴ συνεχὴς δοξολογία πρὸς τὸν Θεόν, καὶ ἄοκνος φροντὶς καὶ ἐνδελεχὴς μέριμνα πῶς νὰ ὠφελήσῃ ἠθικῶς καὶ θρησκευτικῶς τὴν πάσχουσαν κοινωνίαν. Ἔζη ἐν τῷ κόσμῳ, ἀλλ᾽ οὐκ ἦν, ὡς λέγει ὁ Σωτήρ, ἐκ τοῦ κόσμου. Περιεπάτει ἐν τῇ γῇ, ἀλλ᾽ εἶχε τὸ σεμνὸν πολίτευμα ἐν οὐρανοῖς. Ἐφαίνετο ἄνθρωπος, ἀλλ᾽ ἐβίου ἀγγελικῶς. Ἔφερε σάρκα ἀλλ᾽ ἔζη ὡς ἀκριβὴς τηρητὴς καὶ φύλαξ τῆς παρθενίας. Συνανεστρέφετο μετὰ διαφόρων προσώπων, ἀλλ᾽ ὡμίλει ὡς πνευματικὸς καὶ ξέ-

νος τοῦ παρόντος κόσμου. Ἡ ὑψηλὴ ἰδεολογία τὸν συνήρπαζε καὶ τὸ συναίσθημα μιᾶς ἠθικῆς ὑπεροχῆς τὸν διεθέρμαινεν, εἰς τὸ νὰ εὑρίσκηται εἰς περιβάλλον νοητὸν γαλήνης καὶ μακαριότητος. Εἰρηνοποιὸς ὁσιότης ἐμπνευσμένη ἀπὸ τὴν εὐαγγελικὴν ἀρετὴν καὶ ὀνειροπολοῦσα τὴν ἀνέσπερον βασιλείαν τοῦ Θεοῦ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ'. Ὁ Εἱρμός.*

Τοὺς ἐν καμίνῳ Παῖδας σου Σωτήρ, οὐχ' ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Δίς.

Κεκοσμημένη θείοις κροσσωτοῖς, ὡς Ἄνασσα ἔστηκας Θεοῦ ἐκ δεξιῶν θείου φωτὸς διαπορθμεύουσα τὰς φωταυγείας τοῖς μέλπουσιν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τῆς εἰρήνης ἄρχων μορφωθείς, ἐκ σοῦ τὸ ἀνθρώπινον, ἐπεδήμησεν ἐν γῇ καὶ εἰρηνοποιήσας τὰ σύμπαντα, σὲ προστασίαν ἀνέδειξε, Θεογεννῆτορ Ἁγνή, τοῖς σὲ προστρέχουσι.

Ρερυπωμένον βίον μετελθών, τὸ κάλλος ἠμαύρωσα τῆς ψυχῆς μου ὁλικῶς· δι' ὃ τῇ καλλονῇ τοῦ Ἰακὼβ προσφεύγω σοι, ἐκλυτρωθῆναι δεόμενος τῆς ἀμορφίας, Ἁγνή, τῶν ἀκαθάρτων παθῶν.

Ἡ ὑπερτέρα πάντων τῶν κτιστῶν, ὡς Μήτηρ πανάφθορος τοῦ πάντων Ποιητοῦ, τῆς κοσμικῆς προσπαθείας ὑπέρτερον δεῖξόν με τὸν σοὶ κράζοντα· Χαῖρε αὐγὴ μυστική, τοῦ ἀπροσίτου φωτός.

***Τοῦ Ἁγίου. Ὁ Παῖδας ἐκ καμίνου.***

Ὁ παῖδας ἐκ καμίνου ρυσάμενος, ἐκ πάσης φλογώσεως ρύεται καὶ σέ, καὶ διὰ φέγγους ἀρετῶν ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.



Γυναῖκες ἀρετῶν μύρα φέρουσαι ὀπίσω σου ἔδραμον, ὃν δὲ ὡς θνητὸν κατέθεντό σε ὑπὸ γῆν, ὥσπερ ζῶντα καὶ αὖθις ἀπέλαβον, ὁρῶσαι τὸ σὸν πάντιμον σῶμα ζωῆς πηγάζον χάριτας.

Θανάτου μετασχὼν νόμοις φύσεως, φθορᾶς δὲ ἀνώτερος, ὤφθης καὶ νεκρὸς τῇ ἀθανάτῳ δωρεᾷ, ὥσπερ ἐν τῇ θήκῃ κατάκεισαι, ἐκστίλβων ἀφθαρσίας ἀκτῖνας καὶ τῆς ἐγέρσεως τὰ σύμβολα.

Ὡς ὄντως Ἱερὰ καὶ πανεύσημος, αὕτη ἡ νεόφωτος μνήμη σου σοφέ, ἐν ᾗ Αἰγίνης ὁ λαὸς εὐφροσύνης ἀρρήτου ἐμπίπλαται, δρεπόμενος καρποὺς ἰαμάτων ἐκ τοῦ πανσέπτου σκήνους σου.

***Θεοτοκίον.***

Ἰσχὺς ἡ οὐσιώδης καὶ σύμφυτος, Πατρὸς ὑπὲρ ἔννοιαν, σάρκα παθητήν, ἐκ σοῦ ἀνέλαβεν Ἁγνὴ καὶ ἀθάνατον ταύτην εἰργάσατο διὰ ζωοποιῶν παθημάτων, οἰκείᾳ ἀγαθότητι.

***Δεύτερος. Οὐκ ἐλάτρευσαν.***

Ἰαμάτων σε κρατῆρα πολυχεύμονα, Πάτερ Νεκτάριε, ἐπισταμένη σαφῶς, ἡ νεᾶνις ἡ πάσχουσα πιστῶς προσῆλθέ σοι, καὶ ἀπέλαβε τὴν ποθουμένην ἴασιν, εὐλογοῦσα τὸν Δεσπότην.

Εὐφραινέσθωσαν οἱ τῆς Αἰγίνης κάτοικοι, ὅτι ἐπέφανε πηγὴ αὐτοῖς ἀγαθῶν ὁ θεῖος Νεκτάριος, χαρίτων ρεύματα, βρύων πάντοτε καὶ μαρτυρεῖ ὃς ἔδραμεν ἐκ Λαμίας καὶ ἰάθη.

Μυστηρίων σε τῶν ἱερῶν ἐκφάντορα ὁ Λόγος ἔδειξεν, ὡς καθαρὸν τῇ ψυχῇ· δι' ὃ καὶ ἐκπέμπει σοι, Ἄγγελον φύλακα, διασώζοντα ἀπὸ παντοίας βλάβης σε, ὡς λαμπρῶς τινὶ ὡράθη.

***Θεοτοκίον.***

Ὄρος ἅγιον καὶ ἐμφανὲς Πανάμωμε, σὺ ἀναδέδειξαι, ἀποτεκοῦσα Χριστόν, τὸν στήσαντα, Δέσποινα, ὄρη, ὡς γέγραπται,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σταθμῷ γνώσεως καὶ σώζοντα τοὺς ψάλλοντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

*Καταβασία. Οὐκ ἐλάτρευσαν.*

*Ὠδὴ η΄. Ὁ Εἱρμός.*

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς κτίστην καὶ Κύριον, ὑμνεῖτε ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοὶ καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Γεννᾷς τὸν Ὑπέρχρονον, ἐν χρόνῳ σαρκικῶς καὶ μένεις πανάφθορος μετὰ τὸν τοκετόν· ὁ γὰρ Θεὸς Λόγος, ὁ ἐκ σοῦ σαρκωθείς, ἐν σοὶ αὐτουργεῖται παράδοξα καὶ ξένα.

Ἐν θρόνῳ ὡς σύνθρονος, Πατρὸς τῷ Θεϊκῷ, χερσί σου ὡς ἄνθρωπος, βροτοῖς ὁμοιωθείς, ὁ Λόγος ὁρᾶται, καὶ συμπλάττει ἡμᾶς καὶ ἀνακαινίζει τὴν τοῦ Ἀδὰμ οὐσίαν.

Ῥευμάτων χρηστότητος πηγὴ ζωαρχική, χαρίτων τοῦ Πνεύματος λειμὼν πανευθαλής, ἐδείχθης Παρθένε, τεκοῦσα Χριστόν, τὸν ζωοποιοῦντα τοὺς σὲ ὑπερυψοῦντας.

Ἁγίων Ἁγίαν σε εἰργάσατο, Ἁγνή, ἁγίων ὁ Ἅγιος σκηνώσας σῇ γαστρί· δι' ὃ τὴν ψυχήν μου, ἐναγῆ τῇ φθορᾷ γεγονυῖαν ὅλην, ἁγίασον καὶ σῶσον.

*Τοῦ Ἁγίου. Αὕτη ἡ κλητή.*

Αὕτη ἡ καινὴ καὶ ἁγία ἡμέρα, τῆς σῆς πρὸς τὸν Δεσπότην ἱερᾶς ἐκδημίας, ἑορτὴ φωταυγὴς καὶ πανήγυρις ζωῆς ὤφθη πρόξενος, τοῖς σὲ ἀνυμνοῦσι, Νεκτάριε παμμάκαρ.

Δεῦτε τοῦ καινοῦ νεκταρώδους ῥείθρου τρυφήσωμεν ἐνθέως τῶν Ὀρθοδόξων οἱ δῆμοι, καὶ παθῶν τὴν πικρὰν ἀπορρίψωμεν μέθην κραυγάζοντες· σὲ ὑμνολογοῦμεν, Νεκτάριε παμμάκαρ.

Ἆρον κύκλῳ τοὺ ὀφθαλμούς σου, Πάτερ καὶ ἴδε τὰ τέκνα σου ἑστῶτα περὶ τὴν θείαν σορόν σου καὶ αἰτοῦντα θερμῶς



μετασχεῖν τῶν γλυκέων ναμάτων σου καὶ ἐνωτισθῆναι τῆς πατρικῆς φωνῆς σου.

Πάτερ Παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα ἡ μία θεαρχία καὶ Τρισυπόστατος Φύσις, ἀπὸ πάσης ὀργῆς, καὶ αἱρέσεως ἡμᾶς διαφύλαττε, ταῖς ἱκετηρίαις τοῦ θείου Νεκταρίου.

*Θεοτοκίον.*

Μήτηρ ἀψευδὴς καὶ Παρθένος ἐδείχθης, γεννήσασα ἀσπόρως τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν δ' οἶκτον πολὺν τῶν ἀνθρώπων τὸ ὄνειδος λύσαντα, καὶ παλινζωΐας ὀμβρήσαντα τὸν πλοῦτον.

*Δεύτερος. Παῖδας εὐαγεῖς.*

Ἱεραρχικῶς ἠγλαϊσμένος, ὡς ἱεροφάντωρ ἐννομώτατος ὅλος φῶς τεθέασαι, ὡς περισκεπόμενος ὑπὸ νεφέλης ὅσιε, τοῦ Θείου Πνεύματος, ἐξ ἧς καθάπερ πέπλον ἁπλώσας, ἔσκεπες τοὺς ὄντας τῷ σῆς Μονῆς Τεμένει.

Βίον ἀκηλίδωτον ἀνύων, θαυμάτων Πάτερ ἐδέξω τὴν ἐνέργειαν, δαίμονας διώκων μέν, νόσους θεραπεύων δὲ καὶ προορῶν, Νεκτάριε, τὰ συμβησόμενα, προέλεγες ἀδήλων τὴν γνῶσιν τῇ τοῦ Παρακλήτου ἐνθέῳ ἐπιπνοίᾳ.

Λέλυσαι σαρκίου τοῦ ῥοώδους καὶ ἤρθης πρὸς πόλιν τὴν οὐράνιον, θησαυρὸν ἀσύλητον, πλοῦτον ἀναφαίρετον, τὸ ἱερόν σου λείψανον λιπὼν τῇ ποίμνῃ σου, ἐξ οὗ μετὰ τὴν κοίμησιν ἔρρει μύρον εὐωδίας εἰς θαῦμα τῶν ὁρώντων.

*Θεοτοκίον.*

Λάμπουσα ἁγνείας ταῖς ἀκτῖσι, τὸν Ἥλιον τῆς δικαιοσύνης ἀνατέταλκας, ὡς ὄρθρος πολύφωτος τοῖς ἐν σκότει, Δέσποινα, Θεογνωσίας χάριτι καταφωτίζοντα τοὺς σὲ ἀνευφημοῦντας ἐν πίστει καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καταβασία. Παῖδας εὐαγεῖς.*

*Ὠδὴ θ'. Ὁ Εἱρμός.*

Τὴν ζωοδόχον Πηγὴν τὴν ἀέναον, τὴν φωτοφόρον λυχνίαν τὴν πάγχρυσον, τὸν ναὸν τὸν ἔμψυχον, τὴν σκηνὴν τὴν ἄχραντον, τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον ἐν ὕμνοις τιμήσωμεν. *Δίς.*

Σωτηριώδη Πηγήν σε γινώσκομεν, ἀθανασίας τὸ ὕδωρ προρρέουσαν, καὶ τὴν τῆς θνητότητος κάμινον σβεννύουσαν, καὶ ψυχικὰς ἐκκαθαίρουσαν κηλῖδας τοῖς Θεοτόκον σε πίστει δοξάζουσιν.

Ἱεροτύπως Μωσῆς σὲ προέγραψε στάμνον λυχνίαν καὶ βάτον καὶ τράπεζαν, κιβωτὸν ὑπέρλαμπρον, σκηνὴν ἁγιάσματος, ὧν τὰς ἐκβάσεις ἡμεῖς καθορῶντες, σὲ ἀληθῆ Θεοτόκον δοξάζομεν.

Μετὰ σαρκὸς τὸν ἀσώματον τέξασα, Παρθένος πάλιν διέμεινας, ἄχραντε, ὢ τοῦ ξένου θαύματος ! σὺ γὰρ περιέστειλας καθάπερ βρέφος Ἁγνὴ τὸν σπαργανοῦντα τὸν οὐρανὸν καὶ τὴν γῆν ἐν τοῖς νέφεσιν.

Ὁλολαμπὲς ἀνεδείχθης παλάτιον καὶ φωτοφόρος καθέδρα καὶ πάγχρυσος τοῦ ἐπ' ὤμων Δέσποινα χερουβίμ, ὡς γέγραπται, ἐποχουμένου ἀφράστως Θεοῦ Λόγου, ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Ὑπερνεφὴς ἡ λαμπρότης σου, Πάναγνε, τίς οὖν ἀξίως αἰνέσει τὴν δόξαν σου ; σὺ γὰρ ὑπερβέβηκας Ἀγγέλων τὰ τάγματα ἀποτεκοῦσα τὸν ἕνα τῆς Τριάδος, ὃν ἐκδυσώπει ρυσθῆναι με κρίσεως.

***Τοῦ Ἁγίου Φωτίζου, φωτίζου.***

Φαιδρύνου, λαμπρύνου ἡ Ἐκκλησία τοῦ Χριστοῦ. Ὡς ἥλιος νέος ἐπὶ σὲ ἀνέτειλεν ὁ τοῦ Χριστοῦ ἱερὸς μιμητὴς καὶ ἀρραγὴς τῶν δογμάτων φύλαξ, Νεκτάριος ὁ πανεύφημος.



Ὢ θέας ! ὢ κάλλους ! ὢ αἰωνίου χαρμονῆς ! ἧς λαμπρῶς ἠξιώθης ἱερὲ Νεκτάριε· τῆς γὰρ σαρκὸς τοὺς δεσμοὺς παριδὼν ἤρθης πρὸς φῶς τῆς ἀθανασίας τὴν θείαν βλέπων ὡραιότητα.

Ὢ δόξης ἀρρήτου ! ἧς ἀπολαύεις ἀληθῶς ἐν χαρᾷ τῇ ἀλήκτῳ Πάτερ τοῦ Κυρίου σου· ὅθεν κἀμὲ ἀδοξίας παθῶν ὡς συμπαθὴς ῥῦσαι καὶ προσδέχου τὴν ταπεινήν μου ταύτην δέησιν.

***Θεοτοκίον.***

Ὑψώθης τεκοῦσα τὸν ὑπερύψιστον Θεὸν τὸν ὑψώσαντα Κόρη γένος τὸ ἀνθρώπινον. Ὅθεν καμὲ ἐκ κοπρίας παθῶν πρὸς ἀρετῶν θείας ἀναβάσεις ὕψωσον, Ἄχραντε, καὶ σῶσον με.

***Δεύτερος. Ἅπας γηγενής.***

Ὕπερθεν τῆς σῆς φωνῆς ἐπακούσασα πάτερ Νεκτάριε, ἡ νεκρὰ καὶ ἄταφος, ὡς κρατηθεῖσα δεινῷ νοσήματι ὠρθώθη, βηματίζουσα καὶ πόθῳ ἔδραμε τῇ σῇ θήκῃ, ἣν καὶ προσκυνήσασα τὴν τελείαν ἀπείληφεν ἴασιν.

Στήλην ἀρετῶν καὶ σκεῦος πολύτιμον τοῦ Θείου Πνεύματος τὸ σεπτόν σου Λείψανον ὁ Ζωοδότης Λόγος ἀνέδειξεν, ἐν ᾧ πιστῶς προσέδραμεν ἡ ὑπὸ πνεύματος ἀκαθάρτου τρυχομένη, ὅσιε, καὶ ἴαθη εὐθὺς ἐκ τῆς μάστιγος.

Ὅλως ἐξειπεῖν ἢ φράσαι ὡς ἔνεστιν οὐδόλως δύναμαι τὰ πολλά σου θαύματα, ἃ καθ' ἑκάστην τελεῖς, Νεκτάριε, τοῖς εὐλαβῶς προστρέχουσι τῇ θείᾳ σκέπῃ σου, ἀλλ' ἐκ τούτων πολλοστοῦ ἡψάμην νῦν, ἀνυμνήσας ἐκ πόθου τὴν μνήμην σου.

***Θεοτοκίον.***

Νόμου ἡ σκιὰ ἐν σοὶ παρελήλυθε, Θεοχαρίτωτε· σὺ γὰρ ἀπεκύησας τὸν ἐν Προφήταις προκηρυττόμενον, τὸν ἐκ Πατρὸς ἐκλάμψαντα, πρὸ Ἑωσφόρου Υἱόν, ὃν δυσώπει πάσης κατακρίσεως λυτρωθῆναι τοὺς σὲ μακαρίζοντας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

***Καταβασίαι. Ἅπας γηγενής.***

***Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.***

Η Ἐκκλησία ἀγάλλου καὶ ᾆδε ἄσματα καινὰ τὸν σὸν βλαστὸν εὐφημοῦσα καὶ ἱερὸν νυμφαγωγὸν Νεκτάριον τὸν ἀρτίως ἡγιασμένον ὀφθέντα.

***Ὅμοιον.***

Ιεραρχῶν αἱ χορεῖαι ὑποδεχέσθωσαν φαιδρῶς ἐν ταῖς αὐλαῖς τοῦ Ὑψίστου, τὸν βιωσάμενον σοφῶς ἐν ταῖς ἐσχάταις ἡμέραις Νεκτάριον τὸν ὑψίνουν.

***Ὅμοιον.***

Καὶ σὺ ἡ Αἴγινα χαῖρε, ὅτι ἐκτήσω θησαυρὸν καὶ θεοδώρητον ὄλβον, τὸ λείψανον τὸ εὐκλεὲς τοῦ ἱεροῦ Νεκταρίου, ὃν εὐχαρίστως ἀνύμνει.

***Θεοτοκίον.***

Θεοχαρίτωτε Κόρη ἱκέτευε διὰ παντὸς σὺν τῷ κλεινῷ Νεκταρίῳ τὸν πολυεύσπλαγχνον Θεὸν δοῦναι ἡμῖν τοῖς σοῖς δούλοις τὴν λύσιν τῶν ἐπταισμένων.

***Εἰς τοὺς Αἴνους.***

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.**

***Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.***

Ασματικῶς συνελθόντες χεῖρας κροτήσωμεν, Δαυϊτικοῖς κυμβάλοις εὐφημοῦντες συμφώνως Νεκτάριον τὸν Μέγαν τὸν ἐν νυκτὶ τῆς κακίας ἐκλάμψαντα ὡς ἑωσφόρον τῆς Θείας Ἀνατολῆς καὶ τὴν κτίσιν καταυγάσαντα.

Δαυϊτικῶς τῷ Κυρίῳ ᾄσατε πάντες λαοὶ καινὴν χοροστασίαν συγκροτήσαντες ἅμα, ἰδοὺ γὰρ ἤδη ἔλαμψεν ὡς πυρσὸς ὁ Θεόφρων Νεκτάριος καὶ πρὸς λιμένας τοὺς θείους καθοδηγεῖ τοὺς ἐν τῷ βίῳ θαλαττεύοντας.

Τίς ἐπαξίως ὑμνήσει τὰς δυναστείας σου ὦ Ζωοδότα Λόγε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ὅτι δέδωκας ἄρτι στῦλον καὶ ἑδραίωμα ἀρραγὲς τῇ σεπτῇ Ἐκκλησίᾳ σου τὸν θεηγόρον Νεκτάριον ἀληθῶς, τὸν ἐν πίστει σοι λατρεύσαντα.

Υπὲρ ὀσμὴν ἀγροῦ πλήρους τοῦ σοῦ Λειψάνου, σοφέ, ἡ εὐωδία πέλει κατευφραίνουσα πάντας, ἐν ᾧ περιεστῶτες πανευλαβῶς, τὴν σὴν μνήμην γεραίρομεν καὶ ὀσφραινόμεθα χάριτος τῆς ἐν σοὶ ἐνοικούσης, ὦ Νεκτάριε.

***Δόξα. Ἦχος πλ. α΄.***

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἐν πνεύματι καὶ σκιρτήσωμεν ἀγαλλόμενοι τῇ νεωτάτῃ πανηγύρει τοῦ Ἱεράρχου Χριστοῦ. Βασιλεῖς καὶ Ἄρχοντες συνελθέτωσαν καὶ τὸν δι᾿ ἀρίστης νοὸς ἱερουργίας, ἑαυτὸν θεώσαντα, ἐν τῷ θύειν ἀναιμάκτως καὶ ἐγγίζειν τῷ ἀλήπτῳ εὐφημείτωσαν. Ποιμένες καὶ Διδάσκαλοι τὸν τῆς σεπτῆς Χριστοῦ ποίμνης θεόσοφον ποιμένα συνδραμόντες μακαρίσωμεν. Τῆς ἀληθείας τὸν θησαυρόν, τῶν κλονουμένων τὴν βάσιν, τῆς θεηγορίας τὴν λυχνίαν, τῆς ἀνομίας τὸν πέλεκυν τὴν καλλίρρουν πηγὴν τῆς Ἐκκλησίας, τῶν ἀπορρήτων τὸν ἐπόπτην, τῆς ἀφθαρσίας τὸ καλλιστεῖον, τὴν τῆς Αἰγίνης παραμυθίαν καὶ τῶν δαιμόνων καταλύτην ὀξύτατον ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν: Πανάγιε Νεκτάριε, ῥᾶνον ἐν ταῖς ψυχαῖς ἡμῶν τὸ νέκταρ τῆς ἀγάπης καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

***Καὶ νῦν ὁ αὐτός, Θεοτοκίον.***

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, προκύψασα γὰρ ἄνωθεν ἡ Παντάνασσα Μητροπάρθενος ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας Αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα, κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν τοὺς θανάτῳ κρατουμένους πρὶν ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα συνελθόντες εὐφημήσωμεν. Τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυ-

τέραν, τὴν ἔμψυχόν τε κιβωτόν, τὸν πυρίμορφον τοῦ Δεσπότου Θρόνον, τὴν μανναδόχον χρυσέαν στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην, τὴν πάντων χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν Βασιλείας. Οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

### Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

*Εἰς τὴν Λειτουργίαν.*

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἡ γ´ καὶ στ´ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Χρυσοστόμου, τῇ 13 Νοεμβρίου.

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον..*

*Μεγαλυνάρια.*

Τὸν ἐν Ἱεράρχαις νεοφανῆ καὶ τῆς Ἐκκλησίας τὸν ἀστέρα τὸν νεαυγῆ τῆς Ὀρθοδοξίας τὴν ἄσειστον κρηπῖδα Νεκτάριον τὸν Θεῖον ὕμνοις τιμήσωμεν.

Χαίροις Πενταπόλεως ὁ ποιμήν, χαίροις τῆς Αἰγίνης πολιοῦχος καὶ βοηθός· χαίροις εὐσεβείας τὸ τρόπαιον τὸ νέον καὶ τὸ τῆς ἀσεβείας τέλειον ἥττημα.

Φύλαττε καὶ φρούρει ταῖς σαῖς λιταῖς, Νεκτάριε Πάτερ, τὴν σεπτήν σου ταύτην Μονήν. Ἰδοὺ γὰρ προστρέχει τῇ θείᾳ σου πρεσβείᾳ ἐν πίστει προσκυνοῦσα τὸ θεῖον Σῶμά σου.

*Δίστιχον.*

*Νέκταρ ζωῆς πότισον Ἀρχιεράρχα*
*Γεράσιμον πλέξαντα τάδε σοι μέλη.*

---



### Κανὼν Παρακλητικὸς

**Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν Νεκτάριον Μητροπολίτην Πενταπόλεως, οὗ τὸ τίμιον καὶ Ἅγιον Λείψανον σώζεται ἐν τῇ νήσῳ Αἰγίνης.**

**Ποίημα Γερασίμου Μικραγιαννανίτου.**

Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον. Εἶτα τὸ Θεὸς Κύριος τετράκις καὶ τὰ ἑπόμενα τροπάρια.

*Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Ἱεράρχου τῷ πανσέπτῳ λειψάνῳ οἱ ἐν κινδύνοις συνεχόμενοι πλείστοις προσπέσωμεν κραυγάζοντες ἐκ βάθους ψυχῆς, Ἅγιε Νεκτάριε, ὡς πιστῶν ἀντιλήπτωρ, πρόφθασον καὶ λύτρωσαι τῆς παρούσης ἀνάγκης τοὺς προσιόντας, Πάτερ, ἐκ ψυχῆς τῇ ἱερᾷ προστασίᾳ τῆς σκέπης σου.

**Δόξα. Ὅμοιον.**

Ὡς τοῦ Σωτῆρος μιμητὴς καὶ θεράπων καὶ ἱεράρχης καὶ σοφὸς οἰκονόμος τὴν ἐξουσίαν εἴληφας πλουσίαν ἐκ Θεοῦ, λύειν τὰ νοσήματα καὶ παρέχειν ἑκάστῳ, Πάτερ, τὰ αἰτήματα τὰ σωτήρια ὄντως· διὸ καμὲ πρὸς τρίβον τῆς ζωῆς ἐκ τῶν πυλῶν τοῦ θανάτου κυβέρνησον.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους οὐκ ἀποστῶμεν, Δέσποινα. ἐκ σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ν´. καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.**

Πόνων ὀχληρῶν ἡμᾶς λύτρωσε Πάτερ. Γ. Μ. Μ.

*Ὠδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.*

Πληγέντα τὸ σῶμα καὶ τὴν ψυχὴν παθῶν ταῖς βολίσι, τῇ

μοτώσει τῶν σῶν εὐχῶν, Νεκτάριε Πάτερ, ἴασαί με σοὶ γὰρ προσῆλθον ὁ τάλας δεόμενος.

**Ο** νοῦς μου πεπώρωται ἀληθῶς καὶ τοῦ σώματός μου ἐξησθένησεν ἡ ἰσχύς, ἀλλ' ἤδη σὺ πάτερ τὴν ὑγείαν ἐν ἀμφοτέροις παράσχου καὶ σῶσόν με.

**Ν**οσούντων ταχύτατος ἰατρὸς καὶ τῶν θλιβομένων ἀντιλήπτωρ καὶ ἀρωγὸς ὀφθείς, Ἱεράρχα, θεία νεύσει, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα.

*Θεοτοκίον.*

**Ω**ραῖος προῆλθε καθὸ Θεὸς μορφῇ ἐν βροτεία ἐκ γαστρός σου παρθενικῆς, ὁ Λόγος λυτρούμενος τὸν κόσμον ἐξ ἀλογίας παθῶν, Παναμώμητε.

*Ὠδὴ γ. Οὐρανίας ἁψῖδος.*

**Ν**εκρωθεὶς τῇ κακίᾳ, ὀδυνηρῶς ἔρριμμαι, τῆς ἀναισθησίας τῷ τάφῳ οἴμοι τί γένωμαι; ἀλλὰ θαρρήσας σοι, οὐκ ἀπογνώσομαι, Πάτερ, ὅθεν μὴ παρίδῃς με ἐξαπολλύμενον.

**Ο**δυνώμενον σφόδρα τῶν ἀναγκῶν καύσωνι καὶ τῶν ἀλγεινῶν ταῖς ἐφόδοις περιστατούμενον, σὺ μὲ κυβέρνησον πρὸς σωτηρίας λιμένα, καὶ τῶν πόνων κούφισον, Πάτερ, τὸ ἄλγος μου.

**Χ**ειμαζόμενον σάλῳ ἁμαρτιῶν, ὅσιε, τῶν σῶν πρεσβειῶν τῷ ἱστίῳ πρὸς τὸν ἀκύμαντον δρόμον μὲ ἴθυνον τῆς ἀληθοῦς μετανοίας, ἵνα μακαρίζω σε, Πάτερ Νεκτάριε.

*Θεοτοκίον.*

**Λ**επρωθεὶς συμβουλίᾳ τοῦ δυσμενοῦς, Ἄχραντε, ἔσβεσα ψυχῆς μου τὸ κάλλος καὶ παρεχάραξα τὴν ὡραιότητα τῆς ἀρχικῆς εὐπρεπείας καὶ νῦν μεταγνόντα με, αὖθις ὡράϊσον.

**Δ**ιάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Ἱεράρχα, ὅτι



πάντες τῇ σῇ πρεσβείᾳ προστρέχομεν, ἵνα ρυσθῶμεν παντοίων ἐκ συμπτωμάτων.

**Ε**πίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε . . .

***Αἴτησις καὶ τὸ κάθισμα.***

***Ἦχος β'. Πρεσβεία θερμή.***

**Π**ηγὴ δαψιλὴς θαυμάτων ἀναδέδεικται ἡ θεία σορός, Νεκτάριε, τοῦ σκήνους σου, ψυχὰς ἀποκαθαίρουσα καὶ δαιμόνων τὴν λώβην διώκουσα καὶ ἐμπιπλῶσα χαρᾶς πνευματικῆς τοὺς προσιόντας, Πάτερ, ἐκ πίστεως.

***Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.***

**Η** σορὸς τῶν λειψάνων σου τῶν σωμάτων παύει τὰ ἀρρωστήματα καὶ ψυχῶν λύει τὰ κύματα, ἐνεργείᾳ, Πάτερ, Θείου Πνεύματος.

**Ρ**ῶσιν θείαν πρυτάνευσον τοῖς ἐν ἀσθενείαις ποικίλαις στένουσι καὶ δαιμόνων τὴν ἐνόχλησιν, Πάτερ, ἀποδίωξον ἐκ τῶν δούλων σου.

**Ω**σπερ ρεῖθρα θεόβρυτα, τὰ τῶν ἰαμάτων βλῦσον χαρίσματα καὶ παθῶν σβέσον τοὺς ἄνθρακας καὶ τὸν τῆς ψυχῆς μου ξήρανον βόρβορον.

*Θεοτοκίον.*

**Ν**ομοθέτην καὶ Κύριον ὑπὲρ νόμον Κόρη φύσεως τέξασα, ἀνομίας μου τὸν κλύδωνα πράϋνον τῇ αὔρᾳ νόμῳ τοῦ Πνεύματος.

***Ὠδὴ ε'. Φώτισον ἡμᾶς.***

**Η**ρεμον ζωὴν καὶ ἀτάραχον, Νεκτάριε, καὶ σκανδάλων ὑπερτέραν κοσμικῶν τοῖς τιμῶσί σε παράσχου, Παναοίδιμε.

**Μ**άστιγι τῶν σῶν παρακλήσεων, Νεκτάριε, ἀποδίωξον δαιμόνων τὴν πληθύν, τὴν μαστίζουσαν ἀθλίως τὴν καρδίαν μου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΤΟΥ ΙΔΡΥΜΑΤΟΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΚΛΗΡΟΔΟΤΗΜΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἄγρυπνος φρουρὸς καὶ προστάτης καὶ ὑπέρμαχος καὶ ἀντίληψις, Νεκτάριε, γενοῦ τοῖς προστρέχουσι τῇ θήκῃ τῶν λειψάνων σου.

*Θεοτοκίον.*

Σκεῦος ἐκλεκτὸν θείου Πνεύματός με ἔργασαι τὸν ὑπάρξαντα δοχεῖον πονηρόν, ὡς σκηνὴ τοῦ Θεοῦ Λόγου, Παναμώμητε.

*Ὠδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.*

Λαμπτῆρά σε οἱ πιστοὶ νεόφωτον ἐπιστάμενοι, Νεκτάριε Πάτερ, τῇ ἱερᾷ σου προστρέχομεν σκέπῃ, ἵνα ἐκ πάσης ρυσθῶμεν ζοφώσεως καὶ ἐλλαμφθῶμεν τῷ νοΐ, πολιτείας τῆς θείας ταῖς χάρεσιν.

Ὑπέκυψα τῇ φθορᾷ ὁ ἄθλιος, ὡς ἠψάμην τοῦ καρποῦ τῆς ἀπάτης, ἔνθεν Χριστοῦ μακρυνθεὶς τὰς εὐθύνας τῆς ἀγνωσίας μου ἤδη εἰσπράττομαι· ἀλλὰ σύ, Πάτερ, συμπαθῶς, ὡς ποιμὴν ἀληθὴς με ἀνάκτησαι.

Τὴν ἄϋλον λειτουργίαν, Ἅγιε, ἀναφέρων ἐν ὑψίστοις τῷ Λόγῳ, τοὺς ἐμπαρέντας δικτύοις τῆς ὕλης καὶ ἐμπεσόντας κακίας εἰς βάραθρα, ἀνύψωσον πρὸς ἀρετῶν τὰς ἀρίστας ὑψώσεις, Νεκτάριε.

*Θεοτοκίον.*

Ρυόμενος, τοὺς ἀνθρώπους, Ἄχραντε, ὁ Δεσπότης τῆς ἀρχαίας κατάρας, ἐκ τῆς γαστρός σου ὡς βρέφος προῆλθεν ὁ Ποιητὴς τῶν αἰώνων καὶ Κύριος καὶ ἐθεούργησεν ἡμῶν τὴν οὐσίαν ὡς μόνος Φιλάνθρωπος.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου, Ἱεράρχα, ὅτι πάντες τῇ σῇ πρεσβείᾳ προστρέχομεν, ἵνα ρυσθῶμεν παντοίων ἐκ συμπτωμάτων. . . .

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.



***Αἴτησις παρὰ τοῦ ἱερέως καὶ τὸ Κοντάκιον.***

*Ἦχος β'. Προστασία τῶν Χριστιανῶν*

Πεπτωκότων ἐπανόρθωσις γέγονας καὶ τῶν κλονουμένων, Νεκτάριε, στήριγμα, ἐν ὑστέροις τοῖς καιροῖς, παρὰ Κυρίου δοξασθείς· ἀλλὰ καὶ νῦν τῶν καθ' ἡμῶν φρυαττομένων τὴν ὀργὴν ταπεινώσας κατάβαλε, ἄφεσιν τῶν πταισμάτων, λύτρωσιν τῶν σφαλμάτων καὶ φωτισμὸν παρὰ Θεοῦ τοῖς τιμῶσί σε δωρούμενος.

***Καὶ εὐθὺς τὸ Προκείμενον.***

***Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην....***

***Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ;***

***Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.***

Εἶπεν ὁ Κύριος· Ἐγὼ εἰμὶ ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ Ποιμὴν ὁ καλός. Ὁ Ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνα με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

***Δόξα. Ταῖς τοῦ Ἱεράρχου....***

***Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.....***

***Προσόμοιον.***

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

*Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου....*

Ὅλως ἐκ νεότητος τὴν ἀφθαρσίαν ποθήσας νυκτὸς καὶ ἡμέρας τε νόμους τοὺς τῆς χάριτος ἐμελέτησας ἔνθεν δὴ ἤνεγκας ὡς ξύλον εὐῶδες τοὺς καρποὺς τοῦ Θείου Πνεύματος, δι' ὧν ἑκάστοτε τρέφεις τῶν πιστῶν τὴν διάνοιαν καὶ θάλπεις τὰ φρονήματα τῶν εἰλικρινῶς προσιόντων σοι καὶ διασκεδάζεις, Νεκτάριε, τοῦ ψεύδους τὴν ἀχλύν, ὡς καθαρώτατον σκήνωμα, τῆς Τριάδος, Ὅσιε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...*

*Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὠρυόμενος κύκλῳ τῆς ψυχῆς μου ὡς λέων ἐχθρὸς ὁ δόλιος, πειρᾶται καθ' ἑκάστην κατάβρωμα ποιῆσαι, τὸν ἱκέτην σου, Ὅσιε· σὺ οὖν τὰς μύλας αὐτοῦ σύντριψον οὐρανόθεν.

Σωμάτων εὐρωστίαν καὶ ψυχῶν εὐεξίαν, Πάτερ Νεκτάριε, καὶ λύσιν ἀθυμίας καὶ πάσης ἐριθείας τοῖς βοῶσι πρυτάνευσον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀλγηδόνων ποικίλων πειρασμῶν ψυχοφθόρων καὶ περιστάσεων καὶ φθόνου καὶ κακίας καὶ πάσης βασκανίας ἀνωτέρους διάσωζε τοὺς σὲ τιμῶντας πιστῶς, Νεκτάριε παμμάκαρ.

*Θεοτοκίον.*

Ἱλαστήριον θεῖον ἀνεδείχθης τεκοῦσα τὸν λυτρωσάμενον ἡμᾶς τῆς καταδίκης, ὡς δόντα ἑκουσίως ἑαυτὸν τῷ Γεννήτορι λύτρον ὑπὲρ τῶν πολλῶν, Παρθένε Θεοτόκε.

*Ὠδὴ η'. Τὸν Βασιλέα.*

Πληγῶν τὰ ἕλκη καὶ ἀνιάτους ὀδύνας καὶ πάρεσιν μελῶν τε καὶ τῶν ἄρθρων ἴασαι παμμάκαρ τῇ θείᾳ χειρουργίᾳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἀθανασίας περιφανῆ σε λειμῶνα ἐπιστάμενοι, Νεκτάριε, αἰτοῦμεν τῆς ὀσμῆς ῥυσθῆναι θανάτου αἰωνίου.

Τὰ τῶν δαιμόνων σμήνη τὴν θείαν σου κλῆσιν, Πάτερ φρίττουσιν ὡς πῦρ ἀναλίσκον· ὅθεν ἐξ ἀνθρώπων διώκονται ταχέως.

*Θεοτοκίον.*

Ἐκ σοῦ ἐτέχθη ὁ γεννηθεὶς πρὸ αἰώνων, καθὰ γέγραπται, ἐκ τοῦ Πατρὸς ἀρρεύστως, σώζων, Θεοτόκε, τοὺς σὲ ὑπερυψοῦντας.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Ῥανίσιν Ἱεράρχα τῶν θείων σου χαρίτων τὴν χερσωθεῖσαν καρδίαν μου ἄρδευσον, ἵνα Χριστῷ ἐκβλαστήσῃ καρπὸν εὐπρόσδεκτον.

Γαλήνην καὶ εἰρήνην καὶ πατρικὴν ὑψόθεν, ὡς συμπαθὴς εὐλογίαν, Νεκτάριε, τῇ θεολέκτῳ Μονῇ σου παράσχου, Ὅσιε.

Μακρύνας τὴν ψυχήν μου παθῶν τῆς τυραννίδος τοῖς τοῦ Χριστοῦ δικαιώμασι δούλωσον, τὰς τοῦ νοός μου δυνάμεις, Πάτερ Νεκτάριε.

*Θεοτοκίον.*

Μητράνανδρε Παρθένε μετὰ τοῦ Νεκταρίου τὸν σὸν υἱὸν καὶ Θεὸν καθικέτευε, ὑπὲρ τῶν πίστει τιμώντων τὰ μεγαλεῖά σου.

*Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.*

Τὸν τῆς εὐσεβείας νέον πυρσὸν καὶ τῆς Ἐκκλησίας τὸν ἀκοίμητον ὀφθαλμόν, τὸν ἐκ Σηλυβρίας ἀστράψαντα ἀρτίως, Νεκτάριον τὸν θεῖον ὕμνοις τιμήσωμεν.

Χαίροις ὁ νεόρρυτος ποταμὸς ὁ τὴν Ἐκκλησίαν ταῖς ἀΰλοις ἐπιρροαῖς ἄδων καὶ εὐφραίνων καὶ τὴν τῆς δυσσεβείας πλήμμυραν κατακλύζων, πάτερ Νεκτάριε.

Λάμψας ἐν τῷ ὕψει τῶν ἀρετῶν, ὥσπερ θεῖος λύχνος ἀπαστράπτεις διὰ παντὸς ἐν τῇ οἰκουμένῃ, Νεκτάριε παμμάκαρ, τῶν θείων σου θαυμάτων τὰ σελαγίσματα.

Ἐκ παιδὸς ποθήσας τὴν ἀρετήν, ἔφθασας εἰς μέτρον ἡλικίας τῆς τοῦ Χριστοῦ καὶ Ἀρχιερέων ἀρχέτυπον ἐδείχθης, χρησθείς, Πάτερ, ἐλαίῳ ἀγαλλιάσεως.

Χαίροις τεθλιμμένων ὁ ἀρωγὸς καὶ τῶν δαιμονώντων ὁ ταχύτατος ἰατήρ, χαίροις ὁ θεράπων ὁ νέος τῆς Τριάδος, Νεκτάριε Θεόφρων, πιστῶν ὁ θέμεθλος.

Τοῦ Εὐαγγελίου ταῖς καλλοναῖς ἐκλελαμπρυσμένος ὡς ὡράθης δι' ἀρετῶν, τῆς Ὀρθοδοξίας τὰ δόγματα σφραγίζεις καὶ βεβαιοῖς τὸν λόγον, Πάτερ, τῆς πίστεως.

Χαίροις τῆς Αἰγίνης ὁ θησαυρὸς καὶ τῶν Ὀρθοδόξων ἀντιλήπτωρ καὶ ὁδηγός, χαίροις τῆς Ἑλλάδος ἀγλάϊσμα τὸ νέον, Νεκτάριε παμμάκαρ, σκέπε τὴν νῆσόν σου.

Θείαις ἀγλαΐαις προσομιλῶν, δόξης οὐρανίου, Ἱεράρχα, θεαρχικῶς ῥῦσαι τὴν ψυχήν μου παθῶν τῆς σκοτομήνης καὶ φώτισον φωτί με τῆς θείας γνώσεως.

*Πᾶσαι τῶν Ἀγγέλων....*

***Τὸ τρισάγιον. Τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὰ ἑξῆς.***

**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.**

Πᾶσιν ἀντιλήπτωρ καὶ φρουρὸς καὶ παραμυθία καὶ σκέπη γενοῦ, Νεκτάριε, τοῖς προσερχομένοις σοι, Πάτερ, ἐκ πίστεως καὶ τὸ θεῖόν σου λείψανον κατασπαζομένοις ὃ Θεὸς ἐδόξασεν ἐνθέοις χάρισι, λύων πειρασμῶν καταιγίδα καὶ τὴν τῶν δαιμόνων μανίαν φλέγων τῷ πυρὶ τῆς μεσιτείας σου.

*Ὅμοιον.*

Χρῖσμα περικείμενος σεπτὸν πρὸς τὸ καταπέτασμα, Πάτερ, τὸ ἐπουράνιον, χαίρων προσεχώρησας ὡς ἱερώτατος ταῖς ἀκτῖσι τοῦ βίου σου καθωραϊσμένος καὶ λαμπρῶς θεούμενος τῷ Θείῳ Πνεύματι· ὅθεν ἐκ νυκτὸς ἀγνωσίας πρὸς τῆς ἀπαθείας τὸν ὄρθρον καὶ ἡμᾶς ὁδήγησον, Νεκτάριε.



Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην σου.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων.

*Δίστιχον.*

Νέκρωσιν ζωῆς, Νεκτάριε, παράσχου
Γερασίμῳ φθίνοντι ταῖς ἁμαρτίαις.

---

## Οἶκοι Εἰκοσιτέσσαρες.

## Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν Νεκτάριον Μητροπολίτην Πενταπόλεως.

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

***Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.***

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον
Καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα
Ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ.
Ἀναλάμψας γὰρ ἐσχάτως πάντας εὔφρανε
Καὶ κατέρριψεν ἀθέων τὰ φρυάγματα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τούτῳ ψάλλομεν· χαίρεις, Πάτερ Νεκτάριε.

Ἄνθρωπος οὐρανόφρων ἀνεδείχθης ἐν κόσμῳ, Νεκτάριε Χριστοῦ Ἱεράρχα, καὶ σὺν τῇ ὑλικῇ σου σαρκὶ ἀθανάτου ζωῆς εὐμοιρεῖς κάρπωσιν, διό σου ἐξιστάμενος τὴν ἔνθεον ζωὴν βοῶ σοι.

Χαῖρε δι' οὗ οἱ πιστοὶ ὑψοῦνται,

Χαῖρε δι' οὗ οἱ ἐχθροὶ θαμβοῦνται

Χαῖρε τῆς σοφίας κρατὴρ ὁ θεόβρυτος,

Χαῖρε τῆς κακίας πρηστὴρ ὁ νεότευκτος,

Χαῖρε οἶκος ἁγιώτατος ἐνεργείας θεϊκῆς,

Χαῖρε βίβλος θεοτύπωτος πολιτείας τῆς καινῆς,

Χαῖρε ὅτι ἀρτίως ἡμιλλήθης Ἁγίοις,

Χαῖρε ὅτι ἐμφρόνως ἐχωρίσθης τῆς ὕλης,

Χαῖρε λαμπρὰ τῆς πίστεως ἔγερσις,

Χαῖρε σφοδρὰ τῆς πλάνης καθαίρεσις,

Χαῖρε ἐν ᾧ ἀφθαρσία χορεύει,

Χαῖρε δι' οὗ νῆσος Αἴγινα χαίρει.

Χαίροις, Πάτερ Νεκτάριε.

Βλέμματι διανοίας ἔτι ὢν νεανίας κατοπτεύσας τὴν θείαν ἀκτῖνα, κατελάμφθης τὸν νοῦν ὑπ' αὐτῆς καὶ τὰ σκότη τοῦ κόσμου φυγών, Ὅσιε, φωτὸς ἁγνοῦ εὑράμενος πηγὴν αὐτῇ ἐκραύγαζες χαίρων. Ἀλληλούϊα.



Γεωργῶν τὴν καρδίαν ἀληθείας ἐν ἤθει τὴν κακίαν ἀπώσω ἐκ παίδων καὶ ζωῆς καρποὺς φέρεις ἁγνούς, ὥσπερ κλῆμα Χριστοῦ εὐθαλές, Ἅγιε, ἐξ ὧν ἡμεῖς τρυφῶντες νῦν κραυγάζομεν πρὸς σὲ τοιαῦτα.

Χαῖρε τὸ κλῆμα τῆς ἀφθαρσίας,

Χαῖρε τὸ νέκταρ τῆς ἀμβροσίας,

Χαῖρε τῶν πατρῴων θεσμῶν ἐπισφράγισις,

Χαῖρε τῶν δογμάτων τοῦ Λόγου βεβαίωσις,

Χαῖρε πέτρα ἡ πολύτιμος τῆς Σκηνῆς τῆς νοητῆς

Χαῖρε στέφος τὸ νεόπλοκον νύμφης τῆς πνευματικῆς,

Χαῖρε ὅτι ἐφάνης ὡς νεόδρεπτον ῥόδον,

Χαῖρε ὅτι ἐδείχθης ὡς θεόδεκτον δῶρον,

Χαῖρε ἀστὴρ ὁ νέος τῆς πίστεως,

Χαῖρε λαμπτὴρ τῆς δόξης τοῦ Κτίσαντος,

Χαῖρε ἠθῶν ζωηφόρον ταμεῖον,

Χαῖρε σεπτῶν ἀρετῶν ἐκμαγεῖον,

Χαῖρε, Πάτερ Νεκτάριε.

Δόξαν τὴν τῆς σοφίας ὁλικῶς ἀγαπήσας τὴν θεοῦ ᾑρετίσω παιδείαν, ἣν ἀφθόνως ἐκ παίδων ἀντλῶν τῆς ζωῆς σου ἀρχῆθεν τὸν ῥοῦν ἔφηνας, ρυθμίσας σου τὰ βήματα πρὸς οἶκον τὸν οὐράνιον ψάλλων. Ἀλληλούϊα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἔχων τὸν θεῖον φόβον ὡς ζωῆς, πάτερ, νόμον ἀποκρούσω βουλὰς τῶν ἀνόμων ἐν τῇ βύζαντος γὰρ γεγονώς, τὸ Κυρίου συνῆκας φαιδρῶς θέλημα ἐν ᾧ πολιτευόμενος τοὺς πάντας συγκινεῖς βοᾶν σοι.

Χαῖρε φωτὸς οὐρανίου τέκνον,

Χαῖρε τερπνὸν εὐσεβείας δένδρον,

Χαῖρε τῆς τοῦ κόσμου ἀπάτης ὑπέρτερος,

Χαῖρε τῆς τοῦ Λόγου ἀγάπης ἀνάπλεως,

Χαῖρε στάχυς ὁ πολύφορος γεωργίας ζωτικῆς,

Χαῖρε ὄρπηξ ὁ νεόθρεπτος εὐκαρπίας ψυχικῆς,

Χαῖρε ὅτι ἐκ βρέφους τῶν γηΐνων ἀπέστης,

Χαῖρε ὅτι ἐμφρόνως τῷ Θεῷ ἀνετέθης,

Χαῖρε Χριστοῦ ὁ θεῖος ἀκόλουθος,

Χαῖρε κλεινῶν ὁσίων ὁμόζηλος,

Χαῖρε πιστῶν τὸ νεόρρυτον νάμα,

Χαῖρε νοῶν τὸ πανεύοσμον κράμα,

Χαῖρε, Πάτερ Νεκτάριε.

Ζωοδώρητον ὄλβον ἐκ πηγῶν ἀκενώτων ὡς σοφὸς καὶ εὐθύφρων πλουτήσας, φερωνύμως ῥημάτων ζωῆς ἀφθονίαν ἐμβάλλεις ψυχαῖς ἄσπετον πρὸς ῥύθμισιν, Νεκτάριε, τῶν ἅμα ψαλλόντων Κυρίῳ. Ἀλληλούϊα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἤκουσε προσευχῆς ὁ Δεσπότης ἐξ ὕψους ὅτ' ἐν θλίψει ἐβόησας τούτῳ· τῇ θαλάσσῃ ἐπέταξας γὰρ στῆσαι κῦμα πνιγμὸν ἀπελοῦν, Ὅσιε· ἐβόων σοι δὲ ἅπαντες τὸν κίνδυνον φυγόντες ταῦτα.

Χαῖρε λιμὴν τῶν χειμαζομένων,

Χαῖρε πυρσὲ τῶν θαλαττευόντων,

Χαῖρε τῆς Τριάδος θεράπων ὁ γνήσιος,

Χαῖρε τῆς εἰρήνης μεσίτης καὶ σύσκηνος,

Χαῖρε φοῖνιξ ὁ ὑψίκομος οὐρανίων δωρεῶν,

Χαῖρε ῥεῖθρον τὸ θεόβρυτον ἀθανάτων ἀμοιβῶν,

Χαῖρε ὅτι καθεῖλες τῆς θαλάσσης τὸν σάλον,

Χαῖρε ὅτι ἐκτήσω τὸ πρωτόκτιστον κάλλος,

Χαῖρε Χριστοῦ τὸ νέον ἐκλόγιον,

Χαῖρε πιστῶν κοινὸν φυλακτήριον,

Χαῖρε λειμὼν ἀρετῶν πολυτρόπων,

Χαῖρε θημῶν ἀγαθῶν θεοσδότων,

Χαίροις, Πάτερ Νεκτάριε.

Θεῖον θώρακα ὥσπερ ἐνεδύσω ἐν Χίῳ ὑπηρέτου τοῦ Λόγου τὸ σχῆμα καὶ ὡς βέλη βαλὼν κατ' ἐχθρῶν τὰς βολίδας τῶν πόνων τῶν σῶν, καίρια καρδίας αὐτῶν ἔπληξας Θεῷ ἐν ἀπαθείᾳ ψάλλων. Ἀλληλούϊα.

Ἴχνεσιν ἐπιβαίνων παλαιῶν ἱερέων διαπρέπεις λαμπρῶς ἐν Αἰγύπτῳ· μύρῳ γὰρ οὐρανίῳ χρισθεὶς ἱεράρχης, ἀνέσπερον φῶς ἤστραψας, αὐγάζον, ὦ Νεκτάριε, τὸ ποίμνιον βοῶν τοιαῦτα.

Χαῖρε τὸ φῶς τοῦ Εὐαγγελίου.

Χαῖρε αὐγὴ τρισηλίου φέγγους,

Χαῖρε τῶν Πατέρων ἐν πᾶσιν ὁμότροπος,

Χαῖρε ἱερέων ὁ νέος διάκοσμος,

Χαῖρε ῥήτωρ ὁ θεόπνευστος τῶν δογμάτων τῆς ζωῆς,

Χαῖρε κρίνον εὐωδέστατον τοῦ λειμῶνος τῆς τρυφῆς,

Χαῖρε ὅτι ἐφάνης κλέος ἱεραρχίας,

Χαῖρε ὅτι ὡράθης τύπος ποιμαντορίας,

Χαῖρε εἰκὼν ἀρίστης βιώσεως,

Χαῖρε λαμπὰς ἀΰλου θεώσεως,

Χαῖρε κανὼν τῆς ἀρχιερωσύνης,

Χαῖρε κρατὴρ τῆς θεορρημοσύνης,

Χαίροις, Πάτερ Νεκτάριε,

Κόσμιος μὲν τῷ εἴδει, ὑψηλὸς δὲ τῇ πράξει καὶ ἀπέριττος ὤφθης καρδίᾳ, τὸν Δεσπότην γὰρ ἰχνηλατῶν καὶ τὴν τούτου εἰκόνα ἐν σοὶ ἔγραψας, τάθ' ὑπὲρ νοῦν ἐπώπτευσας, Νεκτάριε ψάλλων. Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Ἑλλάδι, ὡς Ἀπόστολος ἄλλος διαχεῖς τὸν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τῆς χάριτος λόγον καὶ αὐγάζεις ἐν ζόφῳ ψυχὰς καὶ υἱοὺς βασιλείας πιστοὺς ἔδειξας, μάκαρ, τοὺς δεξαμένους σε, βοῶντας σοι ἐκ πόθου ταῦτα·

Χαῖρε ὁ στύλος τῆς Ἐκκλησίας,

Χαῖρε ἡ σάλπιγξ τῆς εὐσεβείας,

Χαῖρε ὁ καθάρας ψυχῶν τὴν κατάστασιν,

Χαῖρε ὁ ὀρθώσας ἠθῶν τὴν παρέκκλισιν,

Χαῖρε γνώμων ἐμπειρότατος νοσημάτων καρδιῶν,

Χαῖρα ἴαμα σωτήριον καρδιῶν ἀσθενουσῶν,

Χαῖρε ὅτι κηρύττεις μετανοίας τὸν ὅρον,

Χαῖρε ὅτι σαλπίζεις τὸν ζωήρρυτον φόβον,

Χαῖρε βροτῶν πρὸς Θεὸν ἡ οἰκείωσις,

Χαῖρε πολλῶν πασχόντων ὑγίανσις,

Χαῖρε κρηπὶς ἀρραγὴς κλονουμένων,

Χαῖρε βαλβὶς ἀκλινὴς εὐδρομούντων,

Χαίροις, Πάτερ Νεκτάριε.

Μυστηρίων τοῦ Λόγου λειτουργὸς καὶ ἐπόπτης ὡς καθάρας τὴν φρέναν ἐγένου, ἔνθεν τὰς λογικὰς προσφορὰς τῷ τιθέντι ἀμώμῳ ἀμνῷ ἔθυσας ἀμέμπτως τῷ ποιήσαντι τὰ δῶρα ἀναφέρων καὶ κράζων. Ἀλληλούϊα.

Νέκταρ δικαιοσύνης, ὡς ἁλλόμενον ὕδωρ, ἀναβλύζεις καιρῷ

ἀνομβρίας, ᾧ μεθύσκεις, κατὰ τὸν Δαυΐδ, Ἐκκλησίας τὰς πλήρεις αὐχμοῦ αὔλακας, ἐξ ὧν καρποὶ ἐφύησαν σεπτῇ σου κορυφῇ βοῶντες.

Χαῖρε ψυχῶν ταλαιπώρων ἔαρ,

Χαῖρε ζωῆς πολυχεῦμον φρέαρ,

Χαῖρε ὁ χειμάρρους τῆς θείας χρηστότητος,

Χαῖρε ὁ ἐκφάντωρ Θεοῦ ἀγαθότητος,

Χαῖρε δρόσος νεοστάλακτος, εὐφροσύνη τῶν πιστῶν,

Χαῖρε ἄστρον νεοφώτιστον, καταισχύνη τῶν ἐχθρῶν,

Χαῖρε ὅτι ἐκχέεις ὕδωρ θεογνωσίας,

Χαῖρε ὅτι ξηραίνεις ὀχετοὺς ἀθεΐας,

Χαῖρε λαῶν Ὀρθοδόξων κλέϊσμα,

Χαῖρε πολλῶν κλονουμένων ἔρεισμα,

Χαῖρε σταγὼν ἐξ ἀΰλου ἀβύσσου,

Χαῖρε ῥοὴ ἐκ πηγῆς Παραδείσου,

Χαίροις, Πάτερ Νεκτάριε.

Ξένος πέλει ὁ τρόπος, ὦ Νεκτάριε, ὄντως, πολιτείας σου θείας ἐν κόσμῳ· τίς γὰρ οὐκ ἐκθαμβεῖται ἐν σοὶ ὅτι δὴ ἐν τῇ νῦν γενεᾷ ἄψευστα λαμπρῶς ἐπιστοποίησας τὰ πάλαι θεῖα θέσμια ᾄδων. Ἀλληλούϊα.

Ὅλος ὢν ἐν τῷ κόσμῳ, ὡς βροτὸς κατὰ φύσιν, τὴν ψυχὴν ὑπὲρ φύσιν τῷ Λόγῳ ἀτενῶς προσηλοῖς καὶ τὸ φῶς παρ' αὐτοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ὡς θεόφρων λαβών, Νεκτάριε, ἐκχέεις ἀνεπίφθονον ὡς φάρος τοῖς βοῶσι ταῦτα.

Χαῖρε τὸ σκεῦος τῶν χαρισμάτων,

Χαῖρε ἡ κρήνη τῶν ἰαμάτων,

Χαῖρε Ἐκκλησίας τοῦ Λόγου ἡ ἄγκυρα,

Χαῖρε εὐπρεπείας τῆς θείας ἐμφάνεια,

Χαῖρε βότρυς ὁ μελίστακτος γλυκασμοῦ ζωαρχικοῦ,

Χαῖρε ἄρωμα ἡδύπνοον μύρου τοῦ πνευματικοῦ,

Χαῖρε ὅτι ἐδέξω τῶν θαυμάτων τὴν χάριν,

Χαῖρε ὅτι ἐλαύνεις τῶν δαιμόνων τὴν ζάλην,

Χαῖρε ᾠδὴ Ἀγγέλων εὐαρμόστος,

Χαῖρε μολπὴ ἀνθρώπων θεάρεστος,

Χαῖρε λαμπρὸν ἀφθαρσίας πυξίον,

Χαῖρε καινὸν θεουργίας δοχεῖον,

Χαίροις, Πάτερ Νεκτάριε.

Πυρσωθεὶς αὐτουργίᾳ Παρακλήτου τῇ θείᾳ, σοφὲ Πάτερ Νεκτάριε, ὥσπερ λύχνος θείῳ πυρὶ ἐξαφθεὶς τοῖς ἐν νήσῳ Αἰγίνῃ πιστοῖς ἔφανας τῆς θείας ἱλαρότητος τὴν αἴγλην δαψιλῶς λαλοῦσιν. Ἀλληλούϊα.

Ῥιζωθεὶς ἐν τῇ πέτρᾳ τῶν Χριστοῦ θελημάτων, ἀκραιφνὴς θεωρὸς τῶν ἀΰλων, ἐν θεμέθλῳ στερρῷ σὴν Μονήν, ἱερώτατε,

τὴν εὐαγῆ ἔπηξας, ἡ δὲ τιμῶσα πόνους σου βοᾷ σοι εὐχαρίστως πάνυ.

Χαῖρε σφραγὶς τῆς Ὀρθοδοξίας,

Χαῖρε πρηστὴρ τῆς κακοδοξίας,

Χαῖρε φθειρομένης σοφίας κατάργησις,

Χαῖρε πλανωμένης παιδείας κατάπτωσις,

Χαῖρε πύργος ἀκαθαίρετος Ἐκκλησίας τοῦ Χριστοῦ,

Χαῖρε μάχαιρα ἡ τέμνουσα σοφιστείας τοῦ ἐχθροῦ,

Χαῖρε ὅτι σφραγίζεις τὸν θεσμὸν τῆς ἀγάπης,

Χαῖρε ὅτι συντρίβεις τὸν δεσμὸν τῆς ἀπάτης,

Χαῖρε σοφῶν ματαίων ἡ σύγχυσις,

Χαῖρε πιστῶν ἡ ἄρρηκτος σύναψις,

Χαῖρε δι' οὗ Ἱεράρχαι κοσμοῦνται,

Χαῖρε δι' οὗ μωρολόγοι τροποῦνται,

Χαίροις, Πάτερ Νεκτάριε.

Σωτηρίας λιμένα ὡς σοφὸς κυβερνήτης ἀνέδειξας τὴν θείαν Μονήν σου· ἐν αὐτῇ αἱ ἐκ ζάλης παθῶν κοσμικῶν χειμασθεῖσαι ψυχαὶ εὕραντο γαλήνην ὑπερκόσμιον σὺν σοὶ ἀναβοῶσαι Θεῷ τὸ Ἀλληλούϊα.

Τῆς φθορᾶς τοὺς χιτῶνας ἀπορρίψας ἐμφρόνως ἀφθαρσίας στολὴν ἐνεδύσω· ὅθεν ἄφθαρτον ὑπερφυῶς τὸ σὸν πρόσκαιρον σκῆνος ἐν γῇ πέφανται τὰ πήματα ἰώμενον τῶν σοὶ ἀναβοώντων ταῦτα·



Χαῖρε τὸ θαῦμα τῶν εὐσεβούντων,

Χαῖρε τὸ τραῦμα τῶν ἀπιστούντων,

Χαῖρε τῆς μελλούσης ἐγέρσεως σύνθημα,

Χαῖρε τῆς παρούσης σκαιότητος σύντριμμα,

Χαῖρε θρίαμβος τῆς πίστεως ἔπαλξις τῶν εὐσεβῶν,

Χαῖρε ἴνδαλμα τῆς χάριτος ἔκπληξις τῶν ἀσεβῶν,

Χαῖρε ὅτι ἐμφαίνεις ἀληθείας τὴν δόξαν,

Χαῖρε ὅτι ἐμφράττεις ἀνομίας τὸ στόμα,

Χαῖρε χαρὰ πιστῶν καὶ κραταίωμα,

Χαῖρε φθορὰ ἀπίστων καὶ ἥττημα,

Χαῖρε δι' οὗ ἐδοξάσθη ὁ Λόγος,

Χαῖρε δι' οὗ κατεπλάγη ὁ κόσμος,

Χαίροις, Πάτερ Νεκτάριε.

Ὑπερχέων τὰ ῥεῖθρα ἰαμάτων πλουσίως, ἀγαστὲ τοῦ Χριστοῦ Ἱεράρχα, τὸν βυθὸν ἐξαντλεῖς τὸν βυθὸν καὶ ὑγείαν ὀμβρίζεις ἡμῖν χρήζουσιν· Χριστοῦ γὰρ ὡς ἀκόλουθος ἴασαι τοὺς κραυγάζοντας Κυρίῳ· Ἀλληλούϊα.

Φλέγεις τὴν τῶν δαιμόνων φρυγανώδη μανίαν πυρὶ τῶν ἱερῶν σου θαυμάτων καὶ ταχὺ βοηθῶν τοῖς πιστοῖς βαλλομέ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νοις τυχὸν ὑπ' αὐτῶν, Νεκτάριε, παρέχεις πᾶσιν ἴασιν, διδάσκεις τε βοᾶν σοι ταῦτα·

Χαῖρε ἡ ρῶσις τῶν ἀσθενούντων,

Χαῖρε ἡ λύσις τῶν δαιμονώντων,

Χαῖρε παρειμένων ταχεῖα ἀνόρθωσις,

Χαῖρε πυρεσσόντων τελεία ἀπάλλαξις,

Χαῖρε ὅτι ἐν τῷ φρέατι ὕδωρ βρύεις δαψιλές,

Χαῖρε ὅτι ἐπευλόγησας Αἴγιναν ταῖς σαῖς εὐχαῖς,

Χαῖρε ὁ διανοίξας τὴν Θεοῦ εὐσπλαγχνίαν,

Χαῖρε ὁ διαλύσας τὴν τῆς γῆς ἀνομβρίαν,

Χαῖρε πηγὴ θαυμάτων πολύρρυτε,

Χαῖρε φωστὴρ Ἑῴας πολύφωτε,

Χαῖρε Μονῆς τῆς σεπτῆς σου δομήτωρ,

Χαῖρε τῶν σῶν φοιτητῶν ἀντιλήπτωρ,

Χαίροις, Πάτερ Νεκτάριε.

Χάρις τοῦ Παρακλήτου δαψιλῶς ἐξεχύθη τῇ θήκῃ τοῦ σεπτοῦ σου λειψάνου· ὅθεν ἔμπροσθεν ταύτης τρανῶς αὐτουργεῖται πιστῶν καρδιῶν κάθαρσις καὶ σώματος ἡ ἴασις τῶν ἄπαυστα ᾀδόντων· Ἀλληλούϊα.

Ψάλλειν παναρμονίως τὸν Τρισάγιον Ὕμνον Θεῷ ἠξιωμένος ἀλήκτως δέξαι τόνδε τὸν ταπεινόν μου ψαλμόν, οἷα πα-



τὴρ συμπαθὴς Ἅγιε, καὶ ἄνωθεν εὐλόγησον βοῶντα σοι ἐν πόθῳ αὖθις·

Χαῖρε ὁ γόνος τῆς Σηλυβρίας,

Χαῖρε τὸ σθένος τῆς εὐσεβείας,

Χαῖρε τῆς Αἰγίνης τὸ Θεῖον ἀγλάϊσμα,

Χαῖρε τῆς Ἑλλάδος ἁπάσης ὡράϊσμα,

Χαῖρε κλέος καὶ ὑπόδειγμα ἀκραιφνῶν Ἱεραρχῶν,

Χαῖρε σκέπη καὶ διάσωσμα εὐλαβῶν Μοναζουσῶν,

Χαῖρε ὅτι ὑπάρχεις τῶν Ποιμένων ἀκρότης,

Χαῖρε ὅτι ἐφάνης τῶν Πατέρων φαιδρότης,

Χαῖρε δι' οὗ παθῶν καθαρθήσομαι,

Χαῖρε δι' οὗ Θεῷ προσαχθήσομαι,

Χαῖρε τῶν σῶν ὑμνῳδῶν προστασία,

Χαῖρε ψυχῆς τῆς ἐμῆς θυμηδία,

Χαίροις, Πάτερ Νεκτάριε.

Ὦ θεσπέσιε Πάτερ Ἐκκλησίας λαμπρότης, Νεκτάριε Χριστοῦ Ἱεράρχα· δεδεγμένος ἡμῶν τὴν ᾠδήν, αἰωνίαν χαρὰν ἐν Θεῷ δώρησαι τοῖς πίστει εὐφημοῦσι σε καὶ ψάλλουσι Χριστῷ τῷ Λόγῳ. Ἀλληλούϊα.

***Καὶ αὖθις τὸ Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.***

Ὀρθοδοξίας τὸν ἀστέρα τὸν νεόφωτον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καὶ Ἐκκλησίας τὸ νεόδμητον προτείχισμα

Ἀνυμνήσωμεν καρδίας ἐν εὐφροσύνῃ.

Ἀναλάμψας γὰρ ἐσχάτως πάντας εὔφρανε

Καὶ κατέρραξεν ἀθέων τὰ φρυάγματα

Τούτῳ ψάλλομεν· χαίροις, Πάτερ Νεκτάριε.

*Δίστιχον.*

Χαρᾶς κοινωνῶν Νεκτάριε τῆς θείας
Χαροποίησον Γεράσιμον σὸν δοῦλον.

---

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ